ἀγάπην τῆς πίστεως (1). Περὶ τῆς σημασίας τῆς ἀγάπης ἀποφαίνεται ὧδε: Ποῖον γὰρ εἶδος ἀγαθῶν οὐ κέκτηται ἡ ἀγάπη; οὐ πίστιν τὴν πρώτην τῶν κατ᾽ εὐσέβειαν πραγμάτων ὑπόθεσιν, τὴν τὸν Θεὸν εἶναι καὶ τὰ θεῖα πληροφοροῦσαν τὸν ἔχοντα· καὶ πλέον ἢ ὅσον ὀφθαλμὸς ταῖς ἐπιφανείαις προσβάλλων τῶν αἰσθητῶν τὴν περὶ αὐτῶν τοῖς ὁρῶσι δόξαν παρέχεται; Οὐκ ἐλπίδα τὴν ὑφιστῶσαν ἑαυτῇ τὸ ὄντως ὑφιστάμενον ἀγαθόν, καὶ πλέον κατέχουσαν, ἢ ὅσον χεὶρ τὸ τῇ ἁφῇ ὑποπίπτον τῆς ὕλης παχύτατον; οὐ τῶν πιστευθέντων τε καὶ ἐλπισθέντων δίδωσι τὴν ἀπόλαυσιν, δι᾽ ἑαυτῆς ὡς παρόντα τὰ μέλλοντα κατὰ διάθεσιν ἔχουσα . . . . » (2).

Οὕτω φρονῶν περί τε τοῦ ἀνθρώπου καὶ τῆς χριστιανικῆς ἀγάπης, ἐκάλει τὴν δουλείαν ἐπακολούθημα τῆς ἁμαρτίας. « Αὕτη, λέγει, ἐστὶ παρὰ γνώμην διαίρεσις φύσεως, ἄτιμον ποιουμένη τὸν κατὰ φύσιν ὁμότιμον, νόμον ἐπίκουρον ἔχουσα τὴν τυραννοῦσαν τὸ τῆς εἰκόνος ἀξίωμα, τῶν δισταζόντων διάθεσιν. Ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστὸς διὰ τῶν ὑπὲρ φύσιν καὶ νόμων τὴν τῆς ἀνάρχου βασιλείας δημιουργῶν ἐν πνεύματι μόρφωσιν· ἥν, ὡς ἀποδεδείκνυται, πέφυκε χαρακτηρίζειν καρδίας ταπείνωσις καὶ πρᾳότης· ὧν ἡ σύνοδος τέλειον τὸν κατὰ Χριστὸν κτιζόμενον ἀποδείκνυσιν ἄνθρωπον . . . . » (3).

§. 252. Ὁ μακάριος Θαλάσσιος.

Ὁ ὅσιος Μάξιμος ἐποιεῖτο περὶ πολλοῦ τὸν ὅσιον Θαλάσσιον, Ἀββᾶν καὶ καθηγούμενον τοῦ ἐν ταῖς ἐρήμοις τῆς Λιβύης Μοναστηρίου, ἔγραψε πρὸς αὐτὸν ἐπιστολάς, ἀνέθηκεν αὐτῷ τὸ ἑαυτοῦ σύγγραμμα περὶ διαφόρων ἀπόρων τῆς θείας Γραφῆς (4), καὶ ἐν ἑνὶ τῶν αὐτοῦ συγγραμμάτων καλεῖ αὐτὸν διδάσκαλον αὐτοῦ (5). Ὁ μακάριος Ἀββᾶς συνήνου τῇ πρὸς τὴν εὐσέβειαν ἀγάπῃ τὴν πρὸς τὴν πνευματικὴν ἐκπαίδευσιν, καὶ οὐκ ὀλίγον ἠσχολήθη περὶ τὴν

(1) T. I. p 453. 606.
(2) T. II. p. 220.
(3) T. I. p. 356.
(4) T. I. p. 1. Ἐπιστολὴ πρὸς Θαλάσσιον, πρεσβύτερον καὶ ἡγούμενον T. II. p. 251-253, 351-359. 370. 372·
(5) Πρὸς Μαρῖνον T. II. p. 14.

τῆς ἁγίας Γραφῆς ἐκμάθησιν. Ἐξεδήμησε δὲ πρὸς Κύριον περὶ τὸ 660ον σωτήριον ἔτος (1).

Καὶ εἰς ἡμᾶς διεσώθη τὸ τοῦ ὁσίου Ἀββᾶ Θαλασσίου τοῦ Λίβυος περὶ ἀγάπης καὶ ἐγκρατείας καὶ τῆς κατὰ νοῦν πολιτείας (2) σύγγραμμα, οὗ χωρία ἀπαντῶσιν ἐν τῇ ὑπὸ τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ Ἐκδόσει τῆς ὀρθοδόξου πίστεως. Τὸ σύγγραμμα τοῦτο σύγκειται ἐκ 400 ἑκατοντάδων, ὧν ἑκάστη ἔχει τὴν ἑαυτῆς ἀκροστιχίδα (3). Ἡ ὑπόθεσις αὐτοῦ ἐστι κατ' ἐξοχὴν μὲν ἠθική, ἀλλ' ἀπαντῶσιν ἐν αὐτῷ καὶ οὐκ ὀλίγαι δογματικαὶ ἔννοιαι. Ἐν τῇ πρώτῃ ἑκατοντάδι ὁρῶμεν ἐννοίας περὶ Θεοῦ καὶ περὶ τῆς Ἐνσαρκώσεως τοῦ Θεοῦ Λόγου (4)· περὶ αὐτῆς καὶ ἐν μέρει περὶ τῆς ἁγίας Τριάδος γίγνεται λόγος καὶ ἐν τῷ τέλει τῆς δευτέρας ἑκατοντάδος (5). Ἡ τρίτη ἑκατοντὰς περαίνεται δι' εὐχῆς πρὸς τὸν Κύριον Ἰησοῦν Χριστόν, ἔνθα ὁρῶμεν ἐννοίας περὶ τῆς πτώσεως τοῦ ἀνθρώπου καὶ περὶ τῆς ἀπολυτρώσεως αὐτοῦ (6). Ἐν τῇ τετάρτῃ ἑκατοντάδι, πλὴν τῆς περὶ τοῦ Σωτῆρος διδασκαλίας (7), ἐκτίθεται ἡ περὶ Θεοῦ καὶ τῆς ἁγίας Τριάδος (8). « Οἱ περὶ Θεοῦ λόγοι οὐκ ἐκ τῶν κατ' Αὐτόν, ἀλλ' ἐκ τῶν περὶ Αὐτὸν τοῖς ἁγίοις καὶ μακαρίοις ἡμῶν Πατράσι θεωροῦνται. Νοοῦνται δὲ οἱ περὶ Αὐτόν, δῆλον ὅτι τὸν Θεόν, πάντες λόγοι, οἱ μὲν κατὰ θέσιν,

(1) Τὸ ὄνομα αὐτοῦ οὐχ ὑπάρχει ἐν τῷ Μηναίῳ· ἀλλ' ἐν τῷ εἰς τὸ Σάββατον τῆς Τυρινῆς Κανόνι τοῦ ὁσίου Θεοδώρου τοῦ Στουδίτου τάσσεται ἐν τοῖς ἁγίοις. Ἐν τῇ ἐπιγραφῇ τῶν συγγραμμάτων αὐτοῦ καλεῖται ὅσιος καὶ Θεοφόρος Πατήρ.

(2) Τὸ σύγγραμμα τοῦτο ἐξεδόθη ἑλλην. καὶ λατιν. in Duc. Auctar. nov. T. II. Paris. 1624.

(3) Ἡ ἀκροστιχὶς τῆς α'. ἑκατοντάδος ἔχει ὧδε: Πνευματικῷ ἀδελφῷ καὶ ἀγαπητῷ κυρίῳ Παύλῳ, Θαλάσσιος τῷ μὲν φαινομένῳ ἡσυχαστής, τῇ δὲ ἀληθείᾳ πραγματευτὴς κενοδοξίας· τῆς β'. Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφὲ τιμιώτατε, ὅτι μεγάλα κακὰ προσδοκῶ ἄξια τῆς ἐμῆς προαιρέσεως, λύπας τῇ ψυχῇ καὶ ὀδύνας τῷ σώματι, κ. τ. λ.

(4) Ἄρθρ. 52-63. 95-100.

(5) 93-99.

(6) 99-100.

(7) 50-52. 58. 59. 73.

(8) 81-100.

οἱ δὲ κατ᾽ ἀφαίρεσιν» ([1]). «Θεωρεῖται δὲ αὐτοῖς (τοῖς Πατράσι) πάλιν ὁ Πατὴρ καὶ ἄναρχος καὶ ἀρχή· καὶ ὡς ἄναρχος μὲν ὡς ἀγέννητος, ἀρχὴ δὲ ὡς γεννήτωρ καὶ προβολεὺς τῶν ἐξ Αὐτοῦ κατ᾽ οὐσίαν ἐξ ἀϊδίου ὑπαρχόντων ἐν Ἑαυτῷ, Υἱοῦ τε, λέγω, καὶ Πνεύματος ἁγίου ([2]). «Ἀρχὴν δὲ μίαν τῶν ὅλων τὸν Πατέρα οἴδασι, τοῦ μὲν Υἱοῦ καὶ τοῦ Πνεύματος, ὡς γεννήτορα, καὶ ὡς πηγὴν ἀΐδιον καὶ συνάπειρον καὶ ἀόριστον καὶ ὁμοούσιον καὶ ἀχώριστον· τῶν δὲ κτισμάτων, ὡς Δημιουργὸν καὶ Προνοητήν, καὶ Κριτὴν δι᾽ Υἱοῦ, δηλ. ἐν ἁγίῳ Πνεύματι . . . .» ([3]). Ἡ περὶ τοῦ ἁγίου Πνεύματος διδασκαλία τοῦ Θαλασσίου ἐστὶν ἰδίως σπουδαία, ἅτε δὴ οὖσα, ὡς πρόδηλον, ἐκλογὴ ἐκ τῆς τῶν πρὸ αὐτοῦ Πατέρων, καὶ ἑρμηνεύουσα ἡμῖν καὶ τοὺς λόγους τοῦ Μαξίμου περὶ τῆς αὐτῆς ὑποθέσεως. Τὴν περὶ τῶν θείων Προσώπων διδασκαλίαν αὐτοῦ ἐπανέλαβε καὶ ἡρμήνευσε ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν τῇ ἑαυτοῦ Ἐκδόσει τῆς ὀρθοδόξου πίστεως ([4]).

Ἐν τῷ συγγράμματι τούτῳ περιέχονται διδασκαλίαι περὶ τῆς ἐσωτερικῆς ἐνεργείας τῆς ψυχῆς ([5]), περὶ τῆς φυλακῆς τοῦ νοῦ ([6]), περὶ τῆς φυλακῆς τῆς καρδίας ([7]), περὶ τῆς πρὸς τὸν Θεὸν ἀγάπης καὶ τοῦ φόβου Αὐτοῦ ([8]), περὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης ([9]), περὶ τῆς φυλακῆς τοῦ σώματος ([0]). Ἀπαντῶσιν ἐν αὐτῷ ἔννοιαι πε-

([1]) 81-82.

([2]) 92.

([3]) 99.

([4]) Σελ. 30-33.

([5]) Ά Ἑκατοντ. 10-13. 18-20. 24. 38. 40. 64. 65. 76. 79. Β΄ Ἑκατοντ. 1-4. 57-62. 66. 85-90. Γ΄ Ἑκατοντ. 10-15. 20-21. 51. 53. 55. 63. 73. Δ΄ Ἑκατοντ. 45-64.

([6]) Α΄ Ἑκατοντ. 2. 11. 27. 29. 30. 43-58. 71-73. Β΄ Ἑκατοντ. 12. 24. 25. 29-37. Γ΄ Ἑκατοντ. 3. 4. 26-29. 32-44. 39-41. 44. 67. 68. 73-83. Δ΄ Ἑκατοντ. 2-6. 9. 10. 18-26. 28. 37-47.

([7]) Ά Ἑκατοντ. 17. 23. 28. 35. 66, 67. 74. 75. 80-86. 90-94. Β΄ Ἑκατοντ. 67-80. 92. Γ΄ Ἑκατοντ. 15-18. 25. 75. Δ΄. 65-71.

([8]) Ά Ἑκατοντ. 1. 26. Β΄. 18. 52. 63. 85. 86.

([9]) Ά Ἑκατοντ. 3-9. 14. 16. 21. 78. 87. 88. Β΄. 22. 23. 29. Γ΄. 1. 43. 46. 47. 49. 50. 57-62. Δ΄. 36.

([0]) Α΄ Ἑκατοντ. 13-15. 21-24. 25. 31-33. 35. 37-39. 42, 66-

ρὶ πειρασμῶν ([1]), καὶ φυλαυτίας ([2]), περὶ ἐλευθερίας καὶ χάριτος ([3]). «Ἐθέλεις, λέγει ὁ Ἀββᾶς, ὑφ᾽ ἓν τῶν κακῶν ἀπαλλαγῆναι; τῇ μητρὶ τῶν κακιῶν, τῇ φιλαυτίᾳ ἀπόταξαι» (Β΄. Ἑκατ. 1.). «Προηγεῖται γὰρ πάντων τῶν παθῶν ἡ φιλαυτία· ἔπειτα δὲ πάντων ἔσχατον ἡ ὑπεριφανία. Οἱ τρεῖς γενικώτατοι τῆς ἐπιθυμίας λογισμοὶ ἐκ τοῦ πάθους τῆς φιλαυτίας τὴν γέννησιν ἔχουσι. Νόει πάντως τούς τε τῆς γαστριμαργίας καὶ κενοδοξίας καὶ φιλαργυρίας λογισμούς, οἷς ἕπονται πάντες οἱ ἐμπαθεῖς λογισμοί, ἀλλ᾽ οὐ πάντες κοινῶς» (86-89).

§. 253. Ἀναστάσιος ὁ Σιναΐτης.

Ἀναστάσιος ὁ Σιναΐτης—πρεσβύτερος καὶ καθηγούμενος τοῦ θεοβαδίστου σκηνώματος τοῦ Σινᾶ. Ἡ πρὸς τὴν μοναχικὴν πολιτείαν ἀγάπη παρώρμησεν αὐτὸν καταλιπεῖν τὸν κόσμον καὶ ἐπισκέψασθαι τοὺς ἐπὶ τοῦ Σινᾶ ἀσκητάς, παρ᾽ οἷς καὶ διέτριψεν, ἵνα τοὺς ἀσκητικοὺς διανύσῃ ἄθλους. Φλεγόμενος δ᾽ ὅλος ὑπὸ τοῦ πρὸς τὴν ἀληθῆ πίστιν καὶ τὴν σωτηρίαν τοῦ πλησίον ἔρωτος, ἔγνω μετὰ πολυχρονίους ἐπὶ τοῦ Σινᾶ ἀσκήσεις ἀποδημῆσαι εἰς Αἴγυπτον, Ἀραβίαν καὶ Συρίαν, ὅπως ἐλέγξῃ καὶ ἐπιστρέψῃ εἰς τὴν ἀλήθειαν τοὺς Ἀκεφάλους καὶ ἄλλους Εὐτυχιανούς ([4]). Εἰς Ἀλεξάνδρειαν ἀφίκετο, ὡς αὐτὸς λέγει, ὅτε ἠδύνατο ἀκούειν μόνον περὶ τοῦ μακαρίου Εὐλογίου ([5]), καὶ ὅτε Πατριάρχης τῶν θεοδοσιανῶν ἦν ἐκεῖ ὁ Ἰωάννης (ἀπὸ τοῦ 677-686) ([6]). Τὰ συγγράμματα αὐτοῦ δεικνῦσιν, ὅτι οὐ μόνον ἀνέγνω λίαν πολλὰ συγγράμματα τῶν Διδασκάλων τῆς Ἐκκλησίας, ἀλλὰ καὶ ὅτι ἦν τῆς ἀριστοτελικῆς φιλοσοφίας λιπαρώτατος σπουδαστής ([7]). Ἐξαίρετα ἃ λέγει περὶ τῆς

---

68. 70. 77. Β΄. 4-11. 14-17. 21. 31. 38. 80-84. Γ΄. 38. 48. 54. 56. 64. Δ΄. 13-17. 27. 30-33.

([1]) Γ΄. Ἑκατ. 30-32.

([2]) Β΄. Ἑκατ. 1-4. Γ΄. 86-90.

([3]) Α΄. Ἑκατ. 40, 41. Δ΄. 11, 76.

([4]) Μηνολόγ. τοῦ Βασιλείου. Περὶ τῶν διαλέξεων αὐτοῦ πρὸς τοὺς Ἀκεφάλους ἐν Συρίᾳ καὶ Αἰγύπτῳ, ἰδίως δ᾽ ἐν Ἀλεξανδρείᾳ βλ. Ὁδηγ. σελ. 96. 152. 156, ed Jacobi Gretseri S. I. ingolstadii, 1606.

([5]) Ὁδηγ. σελ. 198. 212.

([6]) Ὁδηγ. σελ. 296-298.

([7]) Ὁδηγ. σελ. 116. «οὐκ ἀριστοτελικῶς, ἀλλὰ θεολογικῶς». Περὶ τῶν Κατηγοριῶν τοῦ Ἀριστοτέλους.

ἑαυτοῦ ἐκπαιδεύσεως: « Οἱ ἑωρακότες Χριστὸν ἐν σαρκί, ὡς Προφήτην Αὐτὸν εἶχον· οἱ μὴ ἑωρακότες ἡμεῖς εὐθὺς ἐξ ἁπαλῶν ὀνύχων παῖδες καὶ νεανίσκοι, Θεὸν Αὐτόν, ἐξουσιαστήν, καὶ Παντοκράτορα καὶ τῶν αἰώνων Ποιητήν, ἀπαύγασμα τοῦ Πατρὸς ὁμολογοῦμεν. Ὡς γὰρ Αὐτὸν ἐκεῖνον βλέποντες Χριστὸν λαλοῦντα, οὕτω καὶ Αὐτοῦ Εὐαγγελίων μετὰ πίστεως ἀκούομεν· καὶ τὸν ἄχραντον μαργαρίτην τοῦ Αὐτοῦ Σώματος δεχόμενοι, Αὐτὸν Ἐκεῖνον βαστάζειν τὸν Χριστὸν νομίζομεν. Καὶ μόνον Αὐτοῦ θεῖον χαρακτῆρα ἐξεικονισμένον εἴδομεν, ὡς ἐξ οὐρανοῦ ἡμῖν ἀτενίζοντα νομίζομεν, προσκυνοῦμεν, προσπίπτομεν » ([1]). Ὁ ἅγιος Ἀναστάσιος ἐτελεύτησεν ἐν βαθυτάτῳ γήρᾳ ([2]) τῷ 686ῳ σωτηρίῳ ἔτει.

Ὁ ἅγιος Ἀναστάσιος ἔγραψε πάνυ πολλὰ συγγράμματα. Τὰ δογματικὰ ἅμα καὶ πολεμικὰ αὐτοῦ συγγράμματα: « Ὁδηγός » καὶ « Ἐρωτήσεις καὶ ἀποκρίσεις περὶ διαφόρων κεφαλαίων ἐκ διαφόρων προσώπων » ([3]), ἐγράφησαν πρὸς ἀνασκευὴν τῶν ὑπὸ τῶν Ἀκεφάλων, Σευηριανῶν καὶ Θεοδοσιανῶν προβαλλομένων ἐνστάσεων. Τὸ πρῶτον σύγγραμμα συγκείμενον ἐν μέρει ἐξ ἐπιστολῶν γραφεισῶν πρὸς διαφόρους ([4]) ἐστίν, ὡς καὶ τὸ ὄνομα δείκνυσιν, εἶδος ἐγχειριδίου συγγραφέντος κατὰ τῶν πλανῶν τῶν Μονοφυσιτῶν. Ἐν αὐτῷ περιέχονται παραινέσεις περὶ τοῦ πῶς δεῖ προφυλάττειν τὴν ψυχὴν ἀπὸ τῶν πονηριῶν καὶ τῶν εὐστροφιῶν τῆς τῶν αἱρετικῶν διαλεκτικῆς, ἥτις ἀείποτε, λέγει, ἐστὶν ἀπατηλή. Ἀναντήρρη-

ἔτι σελ. 30. 96. 98. 98. 138 περὶ Ἀριστοτέλους.

([1]) Τοὺς λόγους τούτους ἐκ τῆς εἰς τὴν Καινὴν Κυριακὴν καὶ εἰς τὸν Ἀπόστολον Θωμᾶν Ὁμιλίας τοῦ Ἀναστασίου παράγει ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν Λόγ. Γ΄. ἀπολογ. πρὸς τοὺς διαβάλλοντας τὰς ἁγίας εἰκόνας, σελ. 388.

([2]) Μην. 21. Ἀπριλ.

([3]) Ἀμφότερα τὰ συγγράμματα ταῦτα ἐξεδοθ. gr. lat. a Gretsero S. I. Ingolstadii, 1617.

([4]) Κεφ. Δ΄. σελ. 78: « Ἀναστασίου ἐλαχίστου πρεσβυτέρου τοῦ ἁγίου ὄρους Σινᾶ περὶ πίστεως τῆς Οἰκονομίας Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ πρὸς τὴν ἁγίαν καθολικὴν Ἐκκλησίαν τὴν ἐν Βαβυλῶνι γραφεῖσαν »· κεφ. γ΄. « Ἀναστασίου ἐλαχίστου μοναχοῦ πόνημα περὶ πίστεως Ὀρθοδόξου », σελ. 72.

τον δ᾽ ὅτι ἐστὶν ἓν τῶν κατὰ τοῦ Εὐτυχιανισμοῦ γραφέντων ἀρίστων πονημάτων (1). Ἐστὶ δὲ πολύτιμον καὶ κατὰ τοῦτο, ὅτι διέσωσε τοῖς ἐπιγιγνομένοις πολύτιμα τεμάχια ἀρχαίων συγγραμμάτων(2).

Καταπολεμῶν τοὺς ὀπαδοὺς τοῦ Γαϊανοῦ κατὰ πάντα τρόπον ἄφθαρτον λέγοντας τὸ σῶμα τοῦ Χριστοῦ καὶ πρὸ τῆς ἀναστάσεως, λέγει περὶ τῆς ἁγ. Εὐχαριστίας τάδε: Λοιπὸν εἰπέ μοι, παρακαλῶ, ὁ λέγων ἐξ αὐτῆς ἄκρας ἑνώσεως κατὰ πάντα τρόπον ἐν ἀφθαρσίᾳ εἶναι, καὶ τὴν θεότητα, καὶ τὸ σῶμα τοῦ Χριστοῦ, αὐτὴ ἡ κοινωνία τοῦ παναγίου σώματος καὶ αἵματος Χριστοῦ, ἣν προσφέρεις καὶ μεταλαμβάνεις, σῶμα καὶ αἷμα ἀληθινόν ἐστι Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἢ ψιλὸς ἄρτος, ὡς ὁ πιπρασκόμενος κατ᾽ οἶκον, καὶ ἀντίτυπος τοῦ σώματος Χριστοῦ, ὡς ἡ θυσία τοῦ τράγου, ἣν οἱ Ἰουδαῖοι προσάγουσιν; » Ὁ Γαϊανίτης: » Μὴ γένοιτο, ἡμᾶς εἰπεῖν ἀντίτυπον τοῦ σώματος Χριστοῦ, τὴν ἁγίαν κοινωνίαν, ἢ ψιλὸν ἄρτον· ἀλλ᾽ αὐτὸ τὸ σῶμα καὶ αἷμα ἀληθῶς Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ μεταλαμβάνομεν, τοῦ σαρκωθέντος καὶ γεννηθέντος ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας». Ὁ ὀρθόδοξος· «Οὕτω πιστεύομεν, καὶ οὕτως ὁμολογοῦμεν, κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ Χριστοῦ, ἣν πρὸς τοὺς μαθητὰς ἐπὶ τοῦ δείπνου τοῦ μυστικοῦ μεταδιδοὺς αὐτοῖς τὸν ζωοποιὸν ἄρτον ἔλεγε: Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα. Ὡσαύτως καὶ τὸ Ποτήριον μεταδιδοὺς αὐτοῖς, φησί: Τοῦτό μού ἐστι τὸ αἷμα. Οὐκ εἶπε τοῦτό ἐστι τὸ ἀντίτυπον τοῦ σώματος καὶ τοῦ αἵματός μου. Καὶ ἐν ἑτέροις δὲ πλείο-

---

(1) Ἐν τοῖς χειρογρ. τὸ σύγγραμμα τοῦτο καλεῖται σύγγραμμα Ἀναστασίου τοῦ Σιναΐτου, οὐχὶ δὲ τοῦ Πατριάρχου.

(2) Ὁ κατάλογος τῶν συγγραφέων καὶ τῶν συγγραμμάτων τῶν ὑπὸ τοῦ Ἀναστασίου μνημονευομένων ap. Fabric. Bibl. gr. X. p. 575-584. Ἐν τῇ σελ. 198 τοῦ Ὁδ. ἀναγινώσκομεν τάδε: « Διηγοῦντο τοίνυν ἡμῖν οἱ τῆς καθολικῆς Ἐκκλησίας ἐν Ἀλεξανδρείᾳ, ὅτι μετὰ τοὺς χρόνους τοῦ μακαρίου Εὐλογίου τοῦ Πάπα γέγονέ τις Αὐγουστάλιος ἐνταῦθα Σευηριανός. Καὶ ἐπὶ ἱκανοὺς χρόνους ἔσχε δεκατέσσαρας καλλιγράφους σύμφρονας αὐτοῦ, κατ᾽ ἐπιτροπὴν αὐτοῦ καθεζομένους, καὶ φαλσεύοντας τὰς βίβλους τῶν δογμάτων τῶν Πατέρων, καὶ μάλιστα τὰς τοῦ ἁγίου Κυρίλλου».

σι τόποις φαίνεται ὁ Χριστὸς εἰπών, ὅτι ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον. Λοιπὸν αὐτοῦ τοῦ Χριστοῦ μαρτυροῦντος, ὅτι σῶμα Αὐτοῦ ἐστιν ἀληθῶς καὶ αἷμα, ὅπερ οἱ πιστοὶ προσάγοντες μεταλαμβάνομεν· ἄγαγε ἡμῖν ἐκ τῆς κοινωνίας τῆς ὑμετέρας Ἐκκλησίας, ὡς ὀρθοδόξου οὔσης, ὡς λέγεις, ὑπὲρ πᾶσαν ἄλλην Ἐκκλησίαν. Καὶ ἀποτιθοῦμεν ἐν πάσῃ τιμῇ τὸ τοιοῦτον ἅγιον σῶμα Χριστοῦ καὶ αἷμα εἰς σκεῦος ἐνδόξως, καὶ ἐντὸς ὀλίγων ἡμερῶν, ἐὰν μὴ φθαρῇ, ἢ τραπῇ, ἢ ἀλλοιωθῇ, πρόδηλον, ὅτι καλῶς κηρύττετε τὸν Χριστόν, κατὰ πάντα τρόπον ὄντα ἐξ αὐτῆς ἄκρας ἑνώσεως ἐν ἀφθαρσίᾳ. Εἰ δὲ φθαρῇ ἢ ἀλλοιωθῇ, ἀνάγκη πᾶσα ἡμᾶς ἓν ἐκ τῶν ὁποτέρων εἰπεῖν· ἤ, ὅτι οὐκ ἔστι, ὃ μεταλαμβάνετε σῶμα ἀληθινὸν Χριστοῦ ἀλλ' ἀντίτυπον καὶ ψιλόν· ἤ, ὅτι διὰ τὴν κακοπιστίαν ὑμῶν, οὐκ ἐπιφοίτησεν εἰς αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον· ἤ, ὅτι φθαρτόν ἐστι τὸ σῶμα Χριστοῦ πρὸ τῆς ἀναστάσεως, ὡς θυόμενον, καὶ νεκρούμενον, καὶ τιτρωσκόμενον, καὶ μελιζόμενον, καὶ ἐσθιόμενον. Ἄφθαρτος γὰρ φύσις οὔτε τέμνεται, οὔτε τιτρώσκεται πλευρὰν καὶ χεῖρας, οὔτε μελίζεται, οὔτε νεκροῦται, οὔτε ἐσθίεται, οὔτε ὅλως κρατεῖται, ἢ ψηλαφεῖται· οἵα ἐστὶν ἡ ἄφθαρτος τῶν ἀγγέλων καὶ τῶν ψυχῶν φύσις» (¹).

Περὶ τῆς ἁγίας Γραφῆς εὑρίσκομεν παρὰ τῷ Σιναΐτῃ ἀξιολόγους μαρτυρίας. Περὶ τοῦ Εὐαγγελίου λέγει : « Αἱ μὲν γὰρ εὐαγγελικαὶ καὶ ἀποστολικαί, οἴδαμεν, ὅτι ἀνόθευτοί εἰσι, καθὰ περὶ τούτου διαφόρως συνετάξαμεν λέγοντες, ὅτι, διαδοθέντος καὶ γραφέντος τοῦ Εὐαγγελίου ἐν τοῖς γράμμασι τῶν ἑβδομήκοντα δύο γλωσσῶν καὶ ἐθνῶν, ἀδύνατόν ἐστι ῥαδιουργίαν, ἢ μείωσιν, ἢ προσθήκην ὑπομεῖναι αὐτῷ» (²). « Ὅρα γοῦν, ὅτι τινὲς ἐπεχείρησαν παρεπάραι τοὺς θρόμβους τοῦ αἵματος τοῦ ἱδρῶτος Χριστοῦ ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου, καὶ οὐκ ἴσχυσαν» (³). « Καὶ γοῦν κατὰ τὸν ἐφετινὸν χρόνον διάφορα τεύχη ψηλαφήσας Ἱερεμίου τοῦ Προφήτου, οὐχ εὗρον ὅλως ἐν αὐτοῖς τὰ τριάκοντα ἀργύρια τῆς τιμῆς τοῦ Χριστοῦ, οὔτε τὴν πρᾶσιν τοῦ ἀγροῦ τοῦ κεραμέως» (⁴).

Ὁ Ἀναστάσιος ἐκτίθησι τὴν εἰκόνα τοῦ Ἐσταυρωμένου Σωτῆρος

(¹) Ὁδηγ. κεφ. 23.
(²) Ὁδηγ. σελ. 338.
(³) Αὐτόθ.
(⁴) Αὐτόθ. σελ. 214.

τέσσαρσιν ἥλοις προσηλωμένου, καὶ προστίθησιν: «Ἐξορκίζομεν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν μεταγράψοντα τὸ βιβλίον, ἵνα τὸν αὐτὸν τύπον ποιήσῃ τῆς Σταυρώσεως» (1).

Τὸ σύγγραμμα Ἐρωτήσεις καὶ ἀποκρίσεις περὶ διαφόρων κεφαλαίων ἐκ διαφόρων προσώπων ἐστὶν ἀξιόλογον διὰ τὰς ἐν αὐτῷ ἑρμηνείας πολλῶν δυσκόλων τῆς ἁγίας Γραφῆς χωρίων. Εἰ καὶ κατέκρινεν ὁ ὅσιος Ἀναστάσιος τὸ πρὸς τὴν διαλεκτικὴν τοῦ Ἀριστοτέλους πάθος τῶν συγχρόνων αὐτῷ (2), ὅμως καὶ αὐτὸς ἐποιεῖτο χρῆσιν ἐκείνης ἀποκρινόμενος εἰς τὰς τῶν Μονοφυσιτῶν ἐρωτήσεις.

Ἐν τοῖς δογματικοῖς συγγράμμασι τοῦ ὁσίου Ἀναστασίου τοῦ Σιναΐτου τάσσονται καὶ τάδε: Σύνταγμα κατὰ Σευηριανῶν (3). διάλεξις κατὰ Ἰουδαίων (4), τρεῖς λόγοι περὶ τοῦ κατ᾽ εἰκόνα (5), καὶ περὶ ἀναστάσεως.

---

(1) Ὁδηγ. σελ. 219. Lambec. Comm. 111. 405. 408. Collar. 96.

(2) «Ἰστέον δὲ πρὸ πάντων καὶ μὴ ἀγνοητέον, ὅτι περ ἅπαντες οἱ μίαν οὐσίαν δογματίζοντες εἶναι τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, ἐκ τοῦ Ἀριστοτέλους καὶ τῶν ἄλλων ἑλληνικῶν διδαχῶν παρέλαβον λέγειν τὴν φύσιν πρόσωπον εἶναι, καὶ τὸ πρόσωπον ὁμοίως φύσιν» Ὁδηγ. σελ. 158.

(3) Ἐξεδόθη λατιν. ὑπὸ Κανισίου T. IV. Antiq. lection.

(4) Ἐξεδόθη λατιν. ὑπὸ Κανισίου Antiq. lection. T. III. Τὸ ἑλλην. χειρόγρ. in Cod Taurini 200.

(5) Οἱ δύο λόγοι μετὰ τοῦ ὀνόματος τοῦ Ἀναστασίου ad calcem Philocaliæ, gr. lat. cura Joh. Taurini, Paris 1618, μετὰ τοῦ ὀνόματος τοῦ Γρηγορίου τοῦ Νύσσης inter Op. S. gregoqii Nyss. T. I. p. 854-856. T. II. p. 22. s. Paris. 1638. cura Ducaei. Ὁ Βανδίνης οὐ μόνον οὐκ ἀμφιβάλλει, ὅτι οἱ ὑπὸ τοῦ Δουκαίου ἐκδοθ. λόγοι ἀνήκουσιν εἰς τὸν Ἀναστάσιον τὸν Σιναΐτην, καὶ οὐχὶ εἰς Γρηγ. τὸν Νύσσης, ἀλλὰ καὶ δείκνυσιν, ὅτι ἐν τοῖς χειρογρ. τῶν Μεδίκ. εἰσὶ τρεῖς ἴδιοι λόγοι Ἀναστ. τοῦ Πρεσβυτ. περὶ τοῦ κατ᾽ εἰκόνα. Ὁ α´ λόγος ἐστὶν ὁ καὶ παρὰ Τωρίνῳ p. 561-81· ὁ β´ παρὰ τῷ αὐτῷ p. 589-689· ὁ γ´, ἐν ᾧ ἐξηγήσας τίνος ἕνεκεν ἔγραψε τοὺς ἄλλους δύο λόγους, πραγματεύεται καὶ περὶ ἄλλων ὑποθέσεων in Cat. Codd. gr. Laurent. T. I. p. 229-312 gr. cum versione lat.

Ἀξιόλογον τὸ περὶ τῶν ἐξ ἀρχῆς αἱρέσεων καὶ τῶν Συνόδων γενομένων κατ᾽ αὐτῶν ἱστορικο-δογματικὸν σύγγραμμα.

Οἱ εἰς τὴν πνευματικὴν ἀναγωγὴν τῆς ἑξαημέρου κτίσεως λόγοι ιϐ΄. (1), καὶ οἱ λόγοι εἰς τὸν ϛ΄ ψαλμόν (2), εἰσίν, ἄξιοι λόγου διότι διεσώθησαν ἐν αὐτοῖς πολλὰ χωρία ἀρχαίων συγγραφέων, καὶ διότι ὑπάρχουσιν ἐν αὐτοῖς πάνυ πολλαὶ σκέψεις εἰς ἀρετὴν παρακαλοῦσαι. Οἱ λόγοι οὗτοι διὰ τὴν ἐπικρατοῦσαν αὐθαίρετον ἀλληγορίαν οὐκ εἰσὶν ὠφέλιμοι τῷ ἑρμηνευτῇ. Πολλῷ ὠφελιμώτερος ἦν ἂν ὁ λόγος εἰς τὸν β΄. ψαλμὸν περὶ τοῦ Πάθους τοῦ Κυρίου, εἰ ἐξεδίδετο.

Ἠθικὰ συγγράμματα αὐτοῦ:

α) Περὶ τῆς ἁγίας συνάξεως καὶ περὶ τοῦ μὴ κρίνειν καὶ μνησικακεῖν (*) λόγος, ἐν ᾧ διδάσκει μεθ᾽ ἡλίκης εὐλαβείας δεῖ ἵστασθαι, τελουμένης τῆς λειτουργίας, πῶς δεῖ ἐξομολογεῖσθαι τῷ ἱερεῖ τὰς ἁμαρτίας, καὶ ὅσον μέγα τὸ ἁμάρτημα τοῦ κατακρίνειν τὸν πλησίον.

ϐ) Λόγος εἰς τοὺς κοιμηθέντας ἐν Κυρίῳ (3) καὶ λόγος περὶ ὅρου ζωῆς (4), ἔνθα παραινεῖ μνημονεύειν τῶν τεθνεώτων.

γ) Ἀσκητικὰ Κεφάλαια (5).

(1) Οἱ δέκα λόγοι ἐξεδ. λατ. IX. tom. B. P. Lugduni. ὁ ιϐ΄ ἐξεδ. ἑλλην. καὶ λατιν. a Petro Allixio, Londini, 1684. Τοῦ συγγράμματος τούτου χωρία παράγει ὁ Γλυκᾶς ἐν τῇ ἱστορίᾳ αὐτοῦ ὑπὸ τὸ ὄνομα Ἀναστασίου τοῦ Σιναΐτου ἀνδρὸς θείου, ἀλλ᾽ οὐ Πατριάρχου.

(2) Ἐξεδ. ἑλλ. καὶ λατιν. in Canisii Lect. Antiquar. T. III. p. 87-122, in edit. Basnagii T. I. p. 480. Combef. Auct nov. T. I. p. 943. Ἀμφότεροι οἱ εἰς τὸν ϛ΄ ψαλμ. λόγοι ἐξεφωνήθησαν κατὰ τὴν Μ. Τεσσαρακοστήν.

(*) Ἐξεφωνήθη τῇ ε΄. Κυριακῇ τῆς Μ. Τεσσαρακοστῆς· ἐξεδ. gr. et lat. in Canisii Antiquar. lection. T. III p. 60-86.

(3) Ἐξεδόθη in Anecdot. Mosquens. Mosquae 1774. vol. I p. 51 seqq. a Mathaeo.

(4) Ἐξεδόθ. ὑπὸ Μαΐου [ὁ λόγος περὶ ὅρου ζωῆς οὐκ ἀνήκει εἰς τὸν ἅγιον Ἀναστάσιον, ἀλλ᾽ εἰς τὸν ἅγ. Γερμανὸν τὸν Κωνσταντιν. Σ.Μ.].

(5) Ἐν τῇ Κοσλιν. Βιβλ. κατὰ τὴν περιγραφὴν τοῦ Μοντφαουκονίου σελ. 514. Πλὴν. τούτου γνωστὸς ἐκ τῶν χειρογρ. εἰς τὴν Μεταμόρφω-

δ) Διηγήσεις διάφοροι περὶ τῶν ἐν Σινᾷ ἁγίων Πατέρων (1).

§. 254. Ἀνδρέας ὁ Κρήτης· α΄) ἐν τῷ βίῳ·

Ἀδρέας ὁ Κρήτης Ἀρχιεπίσκοπος, ἐγεννήθη ἐν Δαμασκῷ, καί, τὴν ἐγκύκλιον οἴκοι παιδευθεὶς παιδείαν, ἀπεχώρησε, τεσσαρακαίδεκα ἔτη γεγονώς, εἰς τὴν ἐν Ἱεροσολύμοις εὐαγεστάτην τοῦ ἁγίου Σάββα Λαύραν, τοὺς ἀσκητικοὺς ἄθλους διανύσων. Ὁ αὐστηρὸς βίος, ὃν διῆγε, ταχέως κατέστησεν αὐτὸν περίβλεπτον. Ὁ τοῦ ἀποστολικοῦ τῶν Ἱεροσολύμων θρόνου τοποτηρητὴς Θεόδωρος (Πατριάρχης τότε οὐκ ἦν ἐν τῇ ἁγίᾳ πόλει ἕνεκα τῶν ὑπὸ τῶν Ἀράβων καταθλίψεων) ἐξελέξατο τὸν Ἀνδρέαν γραμματέα καὶ σύγκελλον αὐτοῦ. Τῷ 679 ἐπέμφθη μετὰ δύο τοποτηρητῶν τοῦ Π. τῶν Ἱεροσολύμων εἰς τὴν ϛ΄ Οἰκουμενικὴν Σύνοδον (2). Ἐπανελθὼν εἰς Ἱερουσαλὴμ μετ᾽ ἀπογράφου τῶν ἀποφάσεων τῆς Συνόδου, οὐκ ἐπαύετο ἀσχολούμενος μετ᾽ ἄκρου ζήλου περὶ νηστείαν καὶ προσευχὴν καὶ τὴν ἀνάγνωσιν τῆς τε θείας Γραφῆς καὶ τῶν συγγραμμάτων τῶν ἁγίων Πατέρων. Διὰ δὲ τὴν ἐνοῦσαν αὐτῷ σπανίαν σύνεσιν καὶ ἀρετὴν προσεκλήθη ἐκ νέου εἰς Κωνστ]πολιν, ἧς ὁ Π. Κωνσταντῖνος, ἅμ᾽ ἀφικόμενον ἐκεῖσε ἐχειροτόνησε διάκονον τοῦ ναοῦ τῆς ἁγίας Σοφίας, καὶ μετ᾽ ὀλίγον κατέστησεν ὀρφανοτρόφον. Ἐπὶ τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ τοῦ Β΄ προὐχειρίσθη Ἀρχιεπίσκοπος Κρήτης, ἧς τὸν εὐσεβῆ λαὸν ἐδίδασκε μετὰ πλείστου ὅσου ζήλου τὸν λόγον τοῦ Θεοῦ καὶ θερμοτάταις προσευχαῖς ἀπήλασσε τῶν ἐπιδρομῶν τῶν Ἀράβων (3). Ὁ ὅσιος Θεοφάνης λέγει (4), ὅτι Ἀνδρέας ὁ Κρήτης ὑπέ-

---

σιν τοῦ Σωτῆρος, λόγος, οὗ ἡ ἀρχή: Ὡς φοβερὸς ὁ τόπος οὗτος. Τοῦ λόγου τούτου ποιεῖται μνείαν ὁ Ἀλλάτιος.

(1) Ms. in Cod. Colbertino 4726. Caug. gloss. græcor. Barb. Fabr. in Cod. Mediol. Viin Cod. Vatic V. Montfauc. B. Coisl. mss. p. 142. B.

(2) Act. SS. ad 4 Julii, p. 42-46. Acta Andræi in Flamini *Creta sacra*, Venetiis, 1755.

(3) Περὶ τῆς ἀπαλλαγῆς τῆς Κρήτης ἀπὸ τῶν Ἀράβων λέγει ἐν τῷ λόγῳ εἰς τὴν περιτομὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ: «οὕτω δὲ ὀρθοδοξοῦντες, ἐθ-

γραψε τοῖς πρακτικοῖς τῆς ἐν Κ]πόλει Συνόδου τῶν Μονοθελητῶν (τῷ 712). Ἀλλ' εἰ μὴ ὁ ἱστορικός, ἑκατὸν μετὰ τὴν Σύνοδον ταύτην ζήσας, ἠπατήθη ὑπὸ τῶν ψευδῶν μαρτυριῶν τῶν Μονοθελητῶν, ῥητέον περὶ τοῦ ποιμένος τῆς Κρήτης ἐκεῖνο, ὅπερ ἔγραψε περὶ ἑαυτοῦ ὁ τῆς Συνόδου προεδρεύσας Πατριάρχης Ἰωάννης, δηλ. ὅτι, ἵνα μὴ διεγείρῃ καθ' ἑαυτοῦ τε καὶ τῆς Ἐκκλησίας τὴν μανίαν τοῦ δεισιδαίμονος Φιλιππικοῦ, ἀπεδέξατο ὁμολογίαν τῆς πίστεως, ἥτις οὔτε τὰς δοξασίας τοῦ Αὐτοκράτορος τούτου ἀπέρριπτε διαρρήδην, οὔτε τὰ τῆς Οἰκουμεν. Συν. Πρακτικά. Ὅπως καὶ ἂν ἔχῃ τοῦτο, ὁ ποιμὴν τῆς Κρήτης εὐγνωμονῶν τῷ Ἀρχιδιακόνῳ Ἀγάθωνι, τῷ προσενεγκόντι αὐτῷ τὰ Πρακτικὰ τῆς ς' Οἰκ. Συν., ἔγραψεν εἰς τὸν Ἀγάθωνα στίχους, τοῦ Φιλιππικοῦ κατακαύσαντος αὐτά. Ὁ Ἀνδρέας γράφει ἐν τούτοις τοῖς στίχοις: «Χριστοῦ νοεῖσθαι τὰς ἐνεργείας δύο.—Διπλῆν θέλησιν δογματίζεις συνδέως». Μετὰ τὴν κατὰ τὸ 712 συγκροτηθεῖσαν Σύνοδον ὁ ποιμὴν τῆς Κρήτης ἔζησεν ἀναμφιβόλως οὐκ ἐπὶ μακρόν ([1]). Πο-

νῶν φόβον ἀποδράσοιμεν, καὶ νῆσοι λύτρωσιν εἰσδέξονται αἱ τῆς Ἐκκλησίας, διὰ λοιμῶν ἀνδρῶν ἀκοσμίαν ἀφαιρέσεις εἰκόνων ποθοῦσαι, ὑπὸ Ἀγαρηνῶν συγκινδυνεύσασαι». Ἐν δὲ τῷ λόγῳ εἰς τὸν ἅγιον καὶ μακάριον καὶ πανεύφημον τοῦ Χριστοῦ Ἀπόστολον Τίτον λέγει: «Οὗτος ὁ Θεὸς ἡμῶν· αὐτὸς ταῖς νίκαις τοὺς ὁμοστεφεῖς καὶ συνθρόνους βασιλεῖς στεφανώσεις, μακραῖς τὸ κράτος αὐτοῖς ἐτῶν διατηρῶν ἀνελίξεσιν. Αὐτὸς ὑπὸ χεῖρας τούτοις καθυποτάξειε τὰ φῦλα πάντα, τὰ βάρβαρα, τὰ τοῖς αἵμασι χαίροντα». Δύο Αὐτοκράτορες ὁμοῦ ἐπὶ τοῦ θρόνου ἦσαν Ἰουστινιανὸς ὁ Β' καὶ ὁ Υἱὸς αὐτοῦ Φιλιππικός, στεφθέντες τῷ 702.

(*) Χρονογρ. σελ. 820.

([1]) Οὐ μόνον, ἃ λέγει ἐν τῷ λόγῳ εἰς τὴν Περιτομὴν τοῦ Κυρίου οὐ δεικνῦσιν, ὅτι ὁ Ἀνδρέας ἔζησε μέχρι τῶν χρόνων Λέοντος τοῦ Ἰσαύρου, ἀλλὰ καὶ ὁ βραχὺς λόγος περὶ προσκυνήσεως τῶν εἰκόνων, ὁ ὑπὸ τοῦ Βουασσονάδου ἐκδοθεὶς (Anecd. gr. T. III. p. 470), οὐδὲν περιέχει ὑπὲρ τῆς ὑποθέσεως τοῦ Οὐδίνου, ὅτι δηλονότι ὁ συγγραφεὺς αὐτοῦ ἦν σύγχρονος τῷ εἰκονομάχῳ αὐτοκράτορι. Ἡ καταστροφὴ τῶν ἁγίων εἰκόνων, περὶ ἧς ὁμιλεῖ ἐν τῷ εἰς τὴν Περιτομὴν τοῦ Κυρίου λόγῳ, ἐγένετο ὑπὸ τῶν Ἀράβων. Περὶ τῶν αἱμοδίψων τούτων Ἀράβων ὁμιλεῖ καὶ ἐν τῷ εἰς τὸν Ἀπόστολον Τίτον λόγῳ. Ἐν τοῖς πρὸς τὸν ὁσιώτατον Ἀγάθωνα γραφεῖσι στίχοις καλεῖ τὰ

λιόθριξ ἤδη ὤν, ἐξεφώνει ἐγκώμια εἰς τοὺς ἁγίους(¹). Ἀρχαία σημείωσις περὶ τοῦ βίου τοῦ ἁγίου Ἀνδρέου λέγει, ὅτι ἐπανερχόμενος ἐκ Κωνσταντινουπόλεως, ἔνθα ἦν δι' ὑποθέσεις τῆς Ἐκκλησίας, κατέλυσε τὸν βίον ἐν τῇ πλησίον Μιτυλήνης κειμένῃ νήσῳ Ἐρεσσῷ (²). Τοῦτο ἴσως ἐγένετο, ὅτε ἐπανήρχετο ἐκ τῆς Συνόδου (τῷ 712)(³).

§. 255. ϐ') ἐν τοῖς συγγράμμασι.

Ὁ ποιμὴν τῆς Κρήτης παρίσταται ἐν τοῖς ἑαυτοῦ συγγράμμασι κατ' ἐξοχὴν ὡς ῥήτωρ καὶ ὡς ἐκκλησιαστικὸς ποιητής. Μέχρι τοῦ νῦν ἐξεδόθησαν οἱ ἑξῆς αὐτοῦ λόγοι εἰς τὸ Γενέσιον τῆς ὑπεραγίας Θεοτόκου (λόγ. 4)· εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου· εἰς τὴν Περιτομὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸν ἅγιον Βασίλειον· εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· εἰς τὸν τετραήμερον Λάζαρον· εἰς τὰ Βάϊα· εἰς τὴν παγκόσμιον Ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ (λόγ. 2)· εἰς τὴν Κοίμησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου (λόγ. 3)· εἰς τὴν Ἀποτομὴν Ἰωάννου τοῦ Προδρόμου· εἰς τὸν ἅγιον, καὶ μακάριον καὶ πανεύφημον τοῦ Χριστοῦ Ἀπόστολον Τίτον· εἰς τὸν ἅγιον Μεγαλομάρτυρα Γεώργιον· εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Νικόλαον· εἰς τὸν μακάριον Πατάπιον· εἰς τὸν ἀνθρώπινον βίον καὶ εἰς τοὺς κοιμηθέντας· περὶ τῆς τῶν ἁγίων εἰκόνων προσκυνήσεως(⁴). Ὁ Κομβεφίσιος καὶ ὁ

πρακτικὰ τῆς κατὰ τὸ 680 συγκροτηθείσης Συνόδου νέα, δηλ. οὐ πρὸ πολλοῦ γενόμενα.

(¹) Ἐν τῷ ἐγκωμίῳ εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Νικόλαον λέγει: «... τὸν δέ γε ὁμότροπον καὶ διάδοχον τῆς ἱερᾶς σου ἀναστροφῆς· τὸν μακρῷ μὲν χρόνῳ μετὰ σέ, τῇ δὲ πολιᾷ εὐθύς ..».

(²) Act. SS. ad 2 April. p. 69. 70.

(³) Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ δ' Ἰουλίου.

(⁴) Ὁ Κομβεφίσιος ἐξέδωκε 18 λόγους Op. S. Amphilochii et Andreæ Cret. 1644. Parisiis, καὶ 2 ἐξεδοθ. in Auct. B. Patr. Paris. 1648. Ἐν τῷ ΙΓ' τόμ. τῆς Βιβλιοθ.

Δουπῖνος ἠγάσθησαν μεγάλως αὐτοὺς τῆς καλλιεπείας, τοῦ ροῦ τῶν νοημάτων, τοῦ ἀφθόνου τῶν λαμπρῶν εἰκόνων, καὶ τοῦ ὕψους τῶν θεολογικῶν ἐννοιῶν.

Ἔξοχος ἐκκλησιαστικὸς ποιητής (1), δείκνυται κατ᾽ ἐξοχὴν ὁ ἅγιος Ἀνδρέας ἐν τῷ μεγάλῳ αὐτοῦ Κανόνι (2). Τὰ 280 τροπάρια τοῦ

τοῦ Γαλλανδίου ἐξεδόθ. μόνον 13. Ὁ Βουασσονάδος ἐξέδωκεν ἕνα. Σχεδὸν 12 μένουσιν ἔτι ἐν χειρογρ. Βλ. Fabric. B. Gr. T. XI. p. 73. 75. Εἷς αὐτῶν Περὶ τῆς ὑποθέσεως τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου ἐξεδ. ὑπὸ τοῦ Φαβρικ. in T. X. B. gr. ed prim. p. 141-147. Τὸ σύγγραμμα αὐτοῦ: Μέθοδος πῶς δεῖ εὑρεῖν τὸν κύκλον τοῦ ἡλίου ἐξεδ. ὑπὸ Πεταβίου in Uranolog. Antwerpiæ, 1703.

(1) Ὁ μέγας Κανών· τρεῖς Κανόνες (εἰς τὴν σύλληψιν τῆς ἁγίας Ἄννης, εἰς τὸ Γενέσιον τῆς Θεοτόκου, καὶ εἰς τὸν Λάζαρον)· τέσσαρα Τριῴδια (εἰς τὴν Κυριακὴν τῶν Βαΐων ἑσπέρας· εἰς τὰς ἁγ. καὶ μεγ. Δευτέραν Τρίτην καὶ Τετάρτην)· ἰδιόμελά τινα στιχηρά, (εἰς τὴν κδ´ Δεκέμ. τρία, εἰς τὴν β´ Φεβρ. τρία, εἰς τὴν ιδ´ Σεπτ. καὶ εἰς τὴν κθ´ Ἰουν. ἀνὰ ἕν, εἰς τὴν κ´ Δεκ. δύο, εἰς τὴν κε´ Μαρτίου) ἐξεδ. ὑπὸ τοῦ Κομβεφισίου μετὰ τῶν λόγων. Οὐκ ἐξεδόθησαν δ᾽ ὑπ᾽ αὐτοῦ: α) οἱ κανόνες εἰς τὴν κθ´ Ἰουν., εἰς τὴν α´. Αὐγ. καὶ εἰς τὴν κ´. Δεκεμβ. β) τὰ ἰδιόμελα εἰς τὴν κθ´. Δεκεμβρ. γ) οἱ κανόνες τοῦ σλαβ. Μην. εἰς τὴν κθ´ Αὐγ. καὶ εἰς τὴν κγ´ Ἰουλίου.

(2) Σημειωτέον α) ὅτι τὰ τροπάρια τῆς ἁγίας Μαρίας τῆς Αἰγυπτίας περιέχουσιν ἰδίαν ἀκροστιχίδα: «Σύ, ἡ ὁσία Μαρία, βοήθει». Τοῦτο δείκνυσιν, ὅτι τὰ τροπάρια ταῦτα ἀνήκουσιν εἰς ἄλλον ποιητήν· β) οἱ Εἱρμοὶ τοῦ μεγ. Κανόνος οὐκ ἀνήκουσιν ἐπ᾽ ἴσης εἰς τὸν ἅγ. Ἀνδρέαν. Ὁ κανὼν πλεονάκις ὀνομάζεται ἐν τοῖς ἀρχαίοις ἀπογράφοις: ἁγιοπολιτικὸν στιχηρόν, ἀκολουθία ψαλμῳδημάτων ἁγιοπολιτικῶν (Cod. Barber ap. goarum. in Euchol. p. 202.). Τοὺς Εἱρμοὺς συνέταξε τὸ πρῶτον ὁ Δαμασκηνός. Νικηφόρος ὁ Κάλλιστος γράφει (ἐν τῷ Συναξαρ. περὶ τοῦ Τριῳδίου), ὅτι οἱ ἅγιοι Θεόδωρος καὶ Ἰωσὴφ οἱ Στουδῖται « κατὰ ζῆλον ἐκείνου (τοῦ μεγάλου ποιητοῦ Κοσμᾶ) κἂν ταῖς λοιπαῖς ἑβδομάσι τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς συνταξάμενοι, τῇ αὐτῶν Μονῇ τοῦ Στουδίτου, πρῶτον παραδεδώκασιν, ἐπὶ μᾶλλον τὰς ᾠδὰς κατατάξαντες καὶ ρυθμίσαντες, καὶ τἄλλα τοῦ βιβλίου, ὅθεν δήποτε παρὰ τῶν Πατέρων ἀθροίσαντες καὶ ἐρανισάμενοι». Ἐντεῦθεν πρόδηλον, ὅτι οἱ ὅσιοι ἥνωσαν τῷ μεγ. Κανόνι τὰ τροπάρια εἰς τιμὴν τῆς Μαρίας καὶ αὐτοῦ τοῦ Ἀνδρέου, καὶ ὅτι τῷ

Κανόνος τούτου ἐγράφησαν οὐκ ἐν στίχοις, ἀλλὰ πεζῇ. Ὁ πνευματικὸς ὀφθαλμὸς τοῦ ποιητοῦ ὁρᾷ τὰ γεγονότα ἀμφοτέρων τῶν Διαθηκῶν ἐν τῷ φωτὶ τῆς πίστεως. Τὰ πρόσωπα τῆς Ἱερᾶς Ἱστορίας παριστᾶσιν αὐτῷ τὸ μὲν εἰκόνας τοῦ πνευματικοῦ βίου, τὸ δὲ διανιστᾶσιν εἰς αὐστηρὸν ἀγῶνα τοῖς παραδείγμασι τῆς πτώσεως. Ἐν ἀμφοτέραις ταύταις ταῖς περιστάσεσιν ἐξεικονίζουσι τὰ μυστήρια τοῦ πνευματικοῦ βίου. Γνωστόν, ὅτι καὶ πρὸ τοῦ ἁγίου Ἀνδρέου οἱ Πατέρες, καὶ πρὸ τῶν Πατέρων οἱ Ἀπόστολοι, καὶ πρὸ τῶν Ἀποστόλων οἱ Προφῆται ἑώρων ἐν τῇ ἱστορίᾳ τῆς Παλαιᾶς Διαθήκης εἰκόνας τοῦ πνευματικοῦ κόσμου καὶ τοῦ πνευματικοῦ βίου. « Ὅ σ α γ ὰ ρ π ρ ο ε γ ρ ά φ η, λέγει ὁ μέγας Ἀπόστολος, ε ἰ ς τ ὴ ν ἡ μ ε τ έ ρ α ν δ ι δ α σ κ α λ ί α ν π ρ ο ε γ ρ ά φ η». (Ρωμ. ιε΄. 4). Οὕτως ὁρᾷ ὁ ἅγιος Ἀνδρέας τὴν ἱερὰν ἱστορίαν τῷ ὀφθαλμῷ τῆς ἀρχαιότητος καταυγαζομένης ὑπὸ τοῦ φωτὸς τῆς ἀποκαλύψεως! Ὑφ' ἡλίκης καταλαμβάνεται θλίψεως ἐπὶ τῇ ἁμαρτίᾳ καὶ τῇ ἐκ τῶν παθῶν καταστροφῇ! Ἐν τῇ πρώτῃ ἐννοίᾳ περὶ ἐκείνης ἢ ταύτης ἡ ψυχὴ αὐτοῦ ἅπασα στρέφεται πρὸς τὴν ἑαυτῆς κατάστασιν, ἐπικαλεῖται τὸ ἔλεος τοῦ Κυρίου, καὶ μόνον ἔσθ' ὅτε ὑπερήδεται τῇ ἡδείᾳ ἐπὶ τὸν Θεὸν ἐλπίδι ἐν Χριστῷ Ἰησοῦ.

« Πόθεν ἄρξομαι θρηνεῖν τὰς τοῦ ἀθλίου μου βίου πράξεις; ποίαν ἀπαρχὴν ἐπιθήσω, Χριστέ, τῇ νῦν θρηνῳδίᾳ; ἀλλ' ὡς εὔσπλαγχνός μοι δὸς παραπτωμάτων ἄφεσιν ». Οὕτως ἄρχεται ὁ θεῖος ἀνὴρ τοῦ θρήνου αὐτοῦ πλήρης κατανύξεως καὶ ἀποτείνεται πρὸς τὴν ἐν τῷ ἀνθρώπῳ πρώτην ἁμαρτίαν. «Κατέρραψε τοὺς δερματίνους χιτῶνας ἡ ἁμαρτία κἀμοί, γυμνώσασά με τῆς πρὶν θεοϋφάντου στολῆς. Πε-

---

Κανόνι τούτῳ καὶ ἄλλοις κανόσιν αὐτοῦ προσέθηκαν τοὺς Εἱρμούς. Κατὰ τὸν αὐτὸν Κάλλιστον, ὁ Ἀνδρέας, ἀφικόμενος εἰς τὴν Οἰκουμεν. Σύν., ἤνεγκε τόν τε βίον τῆς ἁγ. Μαρίας τῆς Αἰγυπτίας, τὸν ὑπὸ τοῦ Σωφρονίου συγγραφέντα, καὶ τὸν μέγαν αὐτοῦ Κανόνα. Τὸ μὲν πρῶτόν ἐστι πιθανόν, τὸ δὲ τελευταῖον ψευδές, διότι ὁ Κάλλιστος προστίθησιν, ὅτι ὁ Ἀνδρέας συνέταξε τὸν μέγαν αὐτοῦ Κανόνα, καθ' ὃν χρόνον συνέγραψεν ὁ Σωφρόνιος τὸν βίον Μαρίας τῆς Αἰγυπτίας. Ὁ ἅγ. Σωφρόνιος ἐτελεύτησε οὐχὶ μετὰ τὸ 640ον ἔτ., ἐντεῦθεν δὲ 40 ἔτη πρὸ τῆς ς΄ οἰκουμ. Συνόδου. Τότε δὲ ὁ Ἀνδρέας ἦν παῖς δεκαετής, ὅτε ὁ Σωφρόνιος ἔγραφε τὸν βίον τῆς Ὁσίας Μαρίας.

ρίκειμαι τὸν στολισμὸν τῆς αἰσχύνης, καθάπερ φύλλα συκῆς, εἰς ἔλεγχον τῶν ἐμῶν αὐτεξουσίων παθῶν». Διαγράψας δὲ τὰ δεινά, ἅτινα ἐπήνεγκε τοῖς πρώτοις ἀνθρώποις ἡ ἁμαρτία, προτρέπει τὴν ἁμαρτωλὸν ψυχὴν αἰτήσασθαι μετὰ τοῦ Ἀβραὰμ τὴν οὐράνιον πατρίδα· δείκνυσιν ἐν τῷ Ἰσαὰκ τὴν θυσίαν τῆς ὑπακοῆς, καὶ ἐν τῷ Ἰσμαὴλ τὸ παράδειγμα τῆς αὐθαδείας· ἐν δὲ τῷ Σοδομιτικῷ πυρὶ—τὸ ἀποτέλεσμα τοῦ ἀκολάστου βίου. Ἡ δὲ ῥάβδος τοῦ Μωϋσέως ἡ θάλασσαν πλήττουσα καὶ βυθὸν πηγνύουσα, τύπος ἐστὶ Σταυροῦ τοῦ θείου, δι' οὗ ἡ χριστιανικὴ ψυχὴ δύναται μεγάλα ἐκτελέσαι. Τοιούτῳ δὲ τρόπῳ κατὰ τὴν τάξιν τῶν χρόνων συνδιαλέγονται τῇ μετανοούσῃ ψυχῇ Βασιλεῖς καὶ Προφῆται. Τέλος ἐν τῇ θ' ᾠδῇ ὁ ἱερὸς τῆς Ἐκκλησίας Μελῳδὸς ἀνυμνεῖ τοὺς λόγους καὶ τὰ ἔργα τοῦ Σωτῆρος Κυρίου. Μετὰ τοῦ Τελώνου ἀναβοᾷ: « Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Μετὰ τῆς Χαναναίας καὶ τῶν τυφλῶν λέγει: Ἐλέησόν με, Υἱὲ Δαυΐδ. Πλύνει, ὥσπερ ἡ Πόρνη, δακρύοις τοὺς πόδας τοῦ Σωτῆρος, καὶ μετὰ τοῦ εὐγνώμονος Ληστοῦ, τοῦ ἐπιγνόντος Αὐτὸν Θεὸν κράζει: Μνήσθητί μου Κύριε, ἐν τῇ βασιλείᾳ Σου. Τοιοῦτον τὸ τῷ μεγάλῳ Κανόνι περιεχόμενον!

§. 256. Γερμανὸς ὁ Κωνσταντινουπόλεως Πατριάρχης.

Τῷ θεσπεσίῳ Γερμανῷ, τῷ τὸ μὲν πρῶτον ἐπισκόπῳ Κυζίκου, ἔπειτα δὲ Πατριάρχῃ Κωνσταντινουπόλεως, ἀπέκειτο ἰδεῖν οὐ μόνον τοὺς τελευταίους σάλους τοῦ Εὐτυχιανισμοῦ, ἀλλὰ καὶ τὴν ἐπισκήψασαν τῇ Ἐκκλησίᾳ πρώτην καταιγίδα τῆς εἰκονομαχίας, ὑφ' ἧς πολλὰ δεινὰ ἔπαθεν.

Φονευθέντος τοῦ πατρὸς αὐτοῦ Ἰουστινιανοῦ τοῦ Πατρικίου, ἀνδρὸς περιφανοῦς καὶ περιβοήτου ὑπὸ Κωνσταντίνου τοῦ Πωγωνάτου, καθιέρωσεν ἑαυτὸν τῷ Κυρίῳ παῖς ἔτι ὤν (1). Διηνεκὴς αὐτοῦ ἀσχο-

(1) Πρακτ. τῆς ἐν Νικαίᾳ Β' οἰκουμεν. Συνόδου, Πρᾶξ. 6. « Γερμανοῦ τοῦ ἐν ἱεροῖς γράμμασιν ἀνατεθραμμένου, καὶ ὡς Σαμουὴλ ἐκ βρέφους τῷ Θεῷ ἀνατεθειμένου, καὶ τῶν θεσπεσίων Πατέρων ἐφαμίλλου, οὗ ταῖς διαλογαῖς ἐξακολουθεῖν ἀναγκαῖον, διαβεβόηται τὰ συγγράμματα ἐν πάσῃ τῇ Οἰκουμένῃ. Καὶ γὰρ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτοῦ, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτοῦ ἀκονιζόμεναι κατὰ τῶν ἀπειθούντων τῇ ἐκκλησιαστικῇ παραδόσει ».

λία ἐν τῇ Μονῇ, ἔνθα τὰς διατριβὰς ἐποιεῖτο, ἦν ἡ νηστεία, ἡ προσευχὴ καὶ ἡ ἀνάγνωσις τῆς ἁγίας Γραφῆς καὶ τῶν συγγραμμάτων τῶν θείων Πατέρων. Ἀναβὰς τὸν ἐπισκοπικὸν τῆς Κυζίκου θρόνον ἐπὶ Ἰουστινιανοῦ τοῦ Β΄, ἐξεβλήθη τῆς ποίμνης αὐτοῦ ὑπὸ τοῦ θεομανοῦς Φιλιππικοῦ, ὃν ἐσπούδασε μετ᾽ Ἀνδρέου τοῦ Κρήτης καταπραΰναι διὰ τῆς σιωπῆς ἐν τῇ κατὰ τὸ 712 συγκροτηθείσῃ μονοθελητικῇ συνόδῳ (1). Τῷ 713 ἐξελέγη Πατριάρχης Κωνσταν]πόλεως. Ἀξιοσημείωτοι οἱ περὶ τῆς ἐπὶ τὴν πατριαρχίαν ἀναβάσεως αὐτοῦ μεταδιδόμενοι ὑπὸ τοῦ ἱστορικοῦ λόγοι: « Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοσεβάστων πρεσβυτέρων καὶ διακόνων καὶ παντὸς τοῦ εὐγενοῦς κλήρου, καὶ τῆς ἱερᾶς συγκλήτου, καὶ τοῦ φιλοχρίστου λαοῦ τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, ἡ θεία χάρις ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, μετατίθεται Γερμανὸν τὸν ὁσιώτατον Μητροπολίτην καὶ πρόεδρον τῆς Κυζίκου Μητροπόλεως, εἰς ἐπίσκοπον ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως» (2). Κατ᾽ αὐτὴν τὴν ἐπὶ τὸν πατριαρχικὸν θρόνον ἀνάβασιν αὐτοῦ ὁ μακάριος Γερμανὸς ἐκήρυξεν, ὅτι ἐγκρίνει καὶ ἀποδέχεται τὰς ἀποφάσεις τῆς ἐν Χαλκηδόνι Συνόδου (3). Καὶ τότε δὲ ἐξεδηλώθη τὸ ἁγνὸν τοῦ πνεύματος αὐτοῦ περὶ τῆς γεννήσεως τοῦ περιφήμου ὁμολογητοῦ Στεφάνου τοῦ νέου (4). Ὁ θεῖος Πατὴρ «ἔγραψεν ἐπιστολὰς τῇ ἀρμενικῇ Ἐκκλησίᾳ πλήρεις πνευματικῆς ἀγάπης καὶ ὀρθοδόξου πίστεως» (5). Καὶ οἱ ἀγῶνες αὐτοῦ πρὸς τὸ συνδιαλλάξαι τοὺς Ἀρμενίους τῇ ἐν Χαλκηδόνι Συνόδῳ οὐκ ἀπέβησαν μάταιοι (6). Ὅτε ὁ Αὐτοκράτωρ Λέων ὁ Ἴσαυρος (τῷ 726) κατὰ Θεοῦ πρῶτον

(1) Θεοφάν. χρονογραφ.

(2) Θεοφάν. χρονογραφ. σελ. 322.

(3) Ἀρχ. Συνοδ. ap. Lequien. Or. Christ. I. 235.

(4) Ὁ βίος τοῦ ἁγ. Στεφάνου τοῦ νέου ὁ ὑπό τινος τῶν μαθητῶν γραφείς, ap. Cotelerium T. IV Monumentorum p. 404. 416.

(5) Λόγ. τοῦ Καθολικ. Νερσῆ ἐν τῇ διαλέξει αὐτοῦ πρὸς τὸν Θεωριανὸν παρὰ Νέϊμανν Geschicht. d. Armen. Litterat. s. 109. Τὸ αὐτὸ ἔγραψε περὶ τοῦ ἁγίου Γερμανοῦ καὶ Γερμανὸς ὁ Β΄ ἐν τῇ πρὸς Ἀρμενίους ἐπιστ. αὐτοῦ (Maii Spicil. Roman. X. 442. 443).

(6) Ὡς ἀπόδειξις τούτου χρησιμεύει καὶ τὸ ὅτι ἡ ἀρμεν. Ἐκκλ. ἀνομολογεῖ αὐτὸν ἅγιον Galanus, p. 77. 78. 341.

ὑβρίζειν ἤρξατο καὶ τὰς ἱερὰς εἰκόνας καθελεῖν ἐπεχείρησεν, ἐσπούδασεν ὁ θεῖος ἀνὴρ ἀπαλλάξαι αὐτὸν τῆς πλάνης, ὑφ' ἧς κατείχετο· ἀλλ' οὗτος οὐ μόνον οὐκ ἐπείθετο τοῖς σοφοῖς λόγοις τοῦ Πατριάρχου, ἀλλὰ καὶ οὐχ ἅπαξ ὕβρισε παντὶ τρόπῳ αὐτὸν καὶ ἔγνω ἐξῶσαι τοῦ θρόνου, ὡς δῆθεν στασιαστὴν κατὰ τῆς νομίμου ἐξουσίας, καὶ ὑπερόριον πέμψαι. Τῷ 730 ἐκέλευσεν ὁ δυσσεβὴς λυθῆναι τὸ ζήτημα ἐν μερικῇ συνόδῳ καὶ κληθῆναι πρὸς τοῦτο γνωστοὺς αὐτῷ ἐπισκόπους. Ὁ Πατριάρχης εἶπεν, ὅτι πρὸς λύσιν οὕτω σπουδαίου ζητήματος δεῖ συγκροτηθῆναι Οἰκουμενικὴν Σύνοδον· ἀλλ' ὁ Λέων ᾔτει ὑπακοήν. Αὐτοκράτωρ, εἶπεν ὁ Πατριάρχης, εἰ ἀρεστόν σοι χρήσασθαι βίᾳ, πρόθυμός εἰμι ἀποθανεῖν ὑπὲρ τῶν ἁγίων εἰκόνων. Ὁ Αὐτοκράτωρ ἐκέλευσε τοὺς στρατιώτας ἐκβαλεῖν τὸν πρόμαχον τῆς ὀρθοδόξου πίστεως μετὰ ῥαβδισμῶν καὶ ἀτίμως τοῦ πατριαρχικοῦ οἴκου. Ἐν Πλατωνίῳ—τῷ πατρικῷ οἴκῳ—διέτριψεν ὁ ἅγιος ἀνὴρ δέκα ἔτη, καὶ ἐξεδήμησε τῷ 740 πρὸς Κύριον, τοῖς πέντε καὶ ἐννενήκοντα ἔτεσι προσεπιβάς (1).

§. 257. Συγγράμματα.

Πάνυ ἀξιόλογος ἡ εἰς διάφορα δυσνόητα χωρία τῆς ἁγίας Γραφῆς ἑρμηνεία τοῦ ἁγίου Γερμανοῦ. Ἡ ἑρμηνεία αὕτη κατεχωρίσθη ὑπὸ τοῦ Π. Φωτίου ἐν τοῖς Ἀμφιλοχίοις αὐτοῦ (2).

Πάνυ ἀξιόλογον ἐπ' ἴσης τὸ σύγγραμμα αὐτοῦ Ἀνταποδοτικὸς ἢ Ἀνόθευτος, οὗ ἐν τῷ πρώτῳ μέρει ἀποδείκνυται πρὸς ἔλεγχον τῶν Ὠριγενιστῶν μαρτυρίαις τοῦ Σωτῆρος, τῶν Ἀποστόλων καὶ τῶν Προφητῶν, ὅτι, ὡς ἡ τῶν δικαίων μακαριότης αἰωνία, οὕτω καὶ τὰ τῶν ἁμαρτωλῶν παθήματα ἔσονται ἀτελεύτητα. Παράγει δὲ πρὸς τοῦτο καὶ τῶν ἁγίων Πατέρων μαρτυρίας. Ἐν τῷ δευτέρῳ μέρει ἀναφέρει πολλὰ χωρία ἐκ τῶν συγγραμμάτων τοῦ ἁγ.

(1) Θεοφάν. χρονογραφ. σελ. 335. 345. Νικηφ. ἐν χρον, Θεοστήρικτος ἐν β. τοῦ ἁγ. Νικήτα ap. Bolland. ad April. p. 260. 261. S German. ibid. ap 12 Maii, Tom. III. Ἡ μνήμη αὐτοῦ τελεῖται ἔν τε τῇ Ἀνατ. καὶ τῇ Δύσει τῇ ιβ'. Μαΐου.

(2) Ἔξεδ. ὑπὸ Μαΐου in I. Tom. vet. Auctor. πρβλ. Spicil. Roman. T. VII. praefat. p. 1. 2.

Γρηγορίου Νύσσης καὶ δημοσίως ἐκθεατρίζει τὰς ὑπὸ τῶν φθορέων Ὠριγενιστῶν ῥᾳδιουργηθείσας νοθεύσεις αὐτῶν.

Αἱ τοῦ ἁγίου Γερμανοῦ ἐπιστολαί εἰσι περίβλεπτοι ἀνὰ πᾶσαν τὴν Οἰκουμένην, λέγει ἡ Ζ΄. Οἰκουμενικὴ Σύνοδος, ἣ ἀνέγνω τὰς περὶ προσκυνήσεων τῶν ἁγίων εἰκόνων τρεῖς αὐτοῦ ἐπιστολάς (1). Ἐν ταύταις ταῖς ἐπιστολαῖς, καὶ ἰδίως ἐν τῇ πρὸς Κλαυδιουπόλεως ἐπίσκοπον Θωμᾶν, ὁ Γερμανὸς ὑπερασπίζων τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν τῇ χρήσει τῆς Ἐκκλησίας, ποιεῖται μνείαν πρὸς τοῖς ἄλλοις τοῦ ὑπὸ τῆς αἱμορροούσης ἀνεγερθέντος ἐν Πανεάδι ἀνδριάντος τοῦ Σωτῆρος, τῆς ἐν Ἐδέσσῃ ἀχειροποιήτου εἰκόνος Αὐτοῦ, τῆς ὑπὸ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ γραφείσης εἰκόνος τῆς Θεομήτορος, καὶ τῶν τελεσθέντων θαυμάτων ὑπό τινων ἁγίων εἰκόνων, οἷα «ἡ ἐν Σωζοπόλει τῆς Πισιδίας τὸ πρὶν ὑπάρχουσα εἰκὼν τῆς παναχράντου Θεοτόκου, ἐκ τῆς γεγραμμένης παλάμης αὐτῆς τὴν τοῦ μύρου βλύσιν προχέουσα».

Ὁ ἀρχαῖος βιογράφος τοῦ ἁγίου Γερμανοῦ γράφει, ὅτι οὗτος «τὸν τῆς ἀληθείας καλὸν ὀρθοτομήσας λόγον, λόγους μὲν ἱκανοὺς πρὸς κοινὴν ὠφέλειαν ἔγραψε, τοὺς εὐσεβοῦντας εὐεργετῶν . . .» (2). Οἱ νῦν γνωστοὶ αὐτοῦ λόγοι εἰσὶν οἵδε: εἰς τὴν εἴσοδον τῆς ὑπεραγίας Θεοτόκου, εἰς τὴν πάνσεπτον Κοίμησιν αὐτῆς (λόγ. 3), εἰς τὸν Εὐαγγελισμόν, εἰς τὰ ἐγκαίνια τοῦ σεβασμίου ναοῦ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ εἰς τὰ ἅγια σπάργανα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (3). Τῶν λόγων τούτων ὁ τρίτος εἰς

(1) Πρ. 6. Αἱ ἐπιστολαὶ αὗται ἀνεγνώθησαν ἐν τῇ Δ΄ συνεδριάσει καὶ ἐξεδ. ὑπὸ Βινίου Τ. Γ΄. σελ. 577. ὑπὸ Λαββέου Τ. Ζ΄. σελ. 240. Ἡ πρώτη ἐγράφη πρὸς Ἰωάννην ἐπίσκοπον Συνάδων, ἡ δευτέρα πρὸς Κωνσταντῖνον ἐπίσκοπον Νακωλείας, καὶ ἡ τρίτη πρὸς Θωμᾶν ἐπίσκοπον Κλαυδιουπόλεως.

(2) Ap. combefic. in Auct. p. 1464.

(3) Τέσσαρες ὁμιλίαι ἐξεδόθ. ὑπὸ Κομβεφισίου in Nov. Auct. Patr. 1648. Ἡ τρίτη ὁμιλία εἰς τὴν Κοίμησιν ἐξεδ. ὑπὸ τοῦ αὐτοῦ ad calcem Ttheodoti Ancyrani gr. lat. 8o. Paris. 1675. Ὁ λόγος εἰς τὰ Ἐγκαίνια τοῦ σεβασμίου ναοῦ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου .... ἐξεδόθη ὑπὸ τοῦ αὐτοῦ: Manipulus rerum Constantinop. p 232. Ἔνιοι

τὴν Κοίμησιν τῆς Θεομήτορος, γνωστός, κατὰ τὰ ἄριστα τῶν ἀπογράφων, ὑπὸ τὸ ὄνομα τοῦ Ὁμολογητοῦ Γερμανοῦ, περιέχει διήγησιν περὶ τῆς Κοιμήσεως Αὐτῆς. Ἐν τῷ εἰς τὸν Εὐαγγελισμὸν λόγῳ μνημονεύει ὁ ῥήτωρ ἀρχαίας διηγήσεως τοῦ Ἰακώβου περὶ τῆς Θεομήτορος, ᾗ ἀκολουθεῖ καὶ ἐν τῷ εἰς τὴν Εἴσοδον Αὐτῆς εἰς τὸν ναόν, ὅτι δηλονότι ἡ πανάχραντος Μαρία εἰσήχθη ὑπὸ τοῦ Ζαχαρίου εἰς τὰ Ἅγια τῶν Ἁγίων(1).

Πολλὰς ἱστορικὰς μαρτυρίας περιέχει ὁ τοῦ ἁγίου Πατρὸς διηγηματικὸς λόγος περί τε τῶν ἁγίων Συνόδων καὶ τῶν κατὰ καιροὺς ἀνέκαθεν τῷ ἀποστολικῷ κηρύγματι ἀναφυεισῶν αἱρέσεων (2). Ἀξιοσημείωτον πρὸς τοῖς ἄλλοις τὸ ἐν αὐτῷ ὑπ' αὐτοῦ λεγόμενον περὶ τῶν προέδρων τῶν Συνόδων: Περὶ τῆς τρίτης λέγει, «Προήδρευε δὲ ἐν αὐτῇ τῇ λεγομένῃ τρίτῃ Συνόδῳ Κύριλλος Ἀλεξανδρείας. Περὶ τῆς τετάρτης: «Ἀνατόλιος ἦν ὁ Κων]πόλεως προεδρεύων». Περὶ τῆς πέμπτης: «Καὶ Σύνοδος ἐνταῦθα συνεκροτεῖτο τῶν ρξε' ἁγίων Πατέρων, ὄντος ἐν αὐτῇ Εὐτυχίου τοῦ τῆς πόλεως ἡμῶν προέδρου, Ἀπολλιναρίου τοῦ Ἀλεξανδρείας, καὶ τὸν τοῦ Βιγιλίου τοῦ Πάπα Ῥώμης τόπον ἀποπληροῦντος». Περὶ τῆς ἕκτης: «ἐν ᾗ Γεώργιός τις τῶν τῇδε προήδρευεν»(3). Ὁ καρδινάλιος Μάϊος, ᾧ ὀφείλομεν τὴν ἔκδοσιν τοῦ πολυτίμου τούτου συγγράμματος τοῦ ἁγίου Γερμανοῦ, σημειοῖ ἐν τῷ τέλει ἑκάστης περὶ τοῦ προέδρου τῆς Συνόδου μαρτυρίας τάδε:

τῶν λόγων τούτων ἐξεδόθ. ὑπὸ Δουκαίου in Auct. Bibl. Paris 1624. Ὁ δὲ ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Γερμανοῦ ἐκδοθεὶς λόγος εἰς τὴν Γέννησιν τῆς Θεομήτορος ἀνήκει, κατὰ τὰ ἄριστα τῶν χειρογράφων, εἰς τὸν Κρήτης ἅγιον Ἀνδρέαν.

(1) Ap. Combefic. in I. tom. Auct. p. 140. s.

(2) Ἐξεδόθη ὑπὸ Μαΐου in Spicil. Romano T. VII. p. 1-73. Romæ, 1842. Τὸ δὲ καταχωρισθὲν ἐν τῷ ΙΓ' τόμῳ τῆς Βιβλιοθ. τοῦ Γαλλανδίου ὑπὸ τὸ ὄνομα τοῦ ἁγ. Γερμανοῦ σύγγραμμα: περὶ τῶν ἁγίων Οἰκουμενικῶν Συνόδων, πόσαι εἰσὶ καὶ πότε καὶ διὰ τί συνηθροίσθησαν, οὐκ ἀνήκει εἰς αὐτόν, ἅτε δὴ ἐξιστορουμένων ἐν αὐτῷ πολλῶν, ἅτινα ἐγένοντο μετὰ τὸν θεῖον Πατέρα.

(3) Παρὰ Μαΐῳ σ. 37. 42. 51 53.

Respicit ordinem nominum Scriptorum Germanus ». Ὁ Γερμανὸς συμμορφοῦται τῇ τάξει, ᾗ ἠκολούθουν αἱ τῶν Πατέρων ὑπογραφαί. Ἀλλ᾽ ὁ πορφυρωτὸς φιλόλογος ἐννοεῖ βεβαίως, ὅτι οὐκ ἀπαλλάσσει διὰ τούτου τοὺς Πάπας τῆς δυσαρέστου αὐτῷ ἀληθείας. Οἴκοθεν ἐννοεῖται, ὅτι ἡ ἐν ταῖς ὑπογραφαῖς τάξις ἐστὶ τάξις τοῦ πράγματος. — Ἡ ἔκφρασις τοῦ ἁγίου Γερμανοῦ: ἦν προεδρεύων, προήδρευε — κατηγορεῖται ἑκάστῳ ἐπισκόπῳ, ὡς προϊσταμένῳ τῆς Ἐκκλησίας καὶ ἐντεῦθεν, κατὰ τὸν ἱερὸν ποιμένα, ὁ πρόεδρος τῆς Συνόδου ἐστὶ ταὐτὸ ὡς πρὸς αὐτήν, ὅπερ ὁ ἐπίσκοπος ὡς πρὸς τὴν Ἐκκλησίαν αὐτοῦ(¹).

Ἡ βίβλος τοῦ ἁγίου Γερμανοῦ, ἡ ἐπιγεγραμμένη «Ἐκκλησιαστικὴ ἱστορία καὶ Μυστικὴ θεωρία (δηλονότι ἐξήγησις τοῦ μυστηρίου τῆς θείας λειτουργίας, καὶ τὸν κατ᾽ αὐτὴν ἐν τῇ Ἐκκλησίᾳ τελουμένων ἐξιστόρησις ἢ διαγραφή) ἐστι πολλῶν ἕνεκα σπουδαιοτάτη(²). Ὅτι τὸ σύγγραμμα τοῦτο ἀνήκει εἰς τὸν ἅγ. Γερμανόν, οὐχὶ δὲ εἰς τὸν κατὰ τὸν ιγ´ αἰῶνα ἀκμάσαντα Γερμανὸν τὸν Β´, τὸν Νέον τὸ ἐπώνυμον, ὡς ἔνιοι δοξάζουσιν, ἀποδείκνυται ἐκ τῆς ἀρχαιότητος τῶν ἑλληνικῶν ἀπογράφων καὶ τῆς ἀρχαιότητος τῆς σλαβικῆς μεταφράσεως(³), καὶ τοῦ αὐτῷ τῷ συγγράμματι περιεχομένου. Ὁ συγγραφεὺς γράφει: «Τὸ κατασφραγίσαι τὸν λαὸν τὸν Ἀρχιερέα ὑποδεικνύει τὴν μέλλουσαν τοῦ Χριστοῦ παρουσίαν ἐν τῷ ἑξακισχιλιοστῷ ἔτει μέλλειν ἔσεσθαι, διὰ τῆς κηφῖδος τῶν δακτύλων ἐμφαι-

(¹) Π. Χ.: «Ἐνταῦθα καὶ αὐτὸς (Σευῆρος) ὑπὸ Μηνᾶ τοῦ γενομένου ἡμῶν Πατριάρχου κατακρίνεται, καὶ τὰ τούτου δόγματα τελείῳ παραδίδονται ἀφανισμῷ· συνεπαμυνομένων τῷ προλεχθέντι ἡμῶν προέδρῳ Μηνᾷ καὶ Ἀγαπητοῦ Ῥώμης προέδρου...» σελ. 51. «Σεργίου ἐκείνου τῆς βασιλευομένης ἡμῶν πόλεως προεδρεύσαντος». σελ. 52. «Πλείω δὲ πάντων Ζήνων... Σινώπης πρόεδρος κεχειροτονημένος». σελ. 56.

(²) Ἐξεδόθη ἑλλην. καὶ λατιν. ὑπὸ Κομβεφισίου in Auct. Nov. Bibl. T. I. p. 88. Ἐν τῷ ΙΓ´ τόμῳ τῆς Βιβλιοθ. τοῦ Γαλλανδίου μόνον ἑλληνιστί.

(³) Τὸ νεαπολιτ. ἀπόγραφον τῆς ἑρμην. (Cod. 236. reg. Neapol.) ἐγράφη τῷ 1140. Τὸ ἀπόγραφον, ὅπερ εἶδεν ὁ Ριχάρδος Σιμώνιος (Not. ad Gabriel. Severum Philadelphensem, pag. 249. 287.) ἐστὶν ἐπ᾽ ἴσης ἀρχαιότερον Γερμανοῦ τοῦ Β´.

νούτης τὸ ἑξακισχιλιοστὸν πεντακοσιοστόν». Ταῦτα οὐκ ἂν ἔγραφε Γερμανὸς ὁ Νέος, ἐφ᾽ οὗ πρὸ πολλοῦ ἤδη παρῆλθον 7,000 ἐτῶν ἀπὸ τῆς δημιουργίας τοῦ κόσμου. Γερμανῷ τῷ πρεσβυτέρῳ καὶ οὐχὶ τῷ νέῳ ἥρμοζεν εἰπεῖν περὶ τοῦ Αὐτοκράτορος Ἰουστινιανοῦ, ὡς οὐ πρὸ πολλοῦ τελευτήσαντος: «ὁ τῆς θείας λήξεως βασιλεὺς Ἰουστινιανὸς» καὶ περὶ τοῦ Χριστοῦ: «Εἷς ἐστι τῆς ἁγίας Τριάδος, ἐνανθρωπήσας καὶ σταυρωθῆναι καταδεξάμενος» (1), δι᾽ οὗ ἠλέγχοντο οἱ τότε πάνυ ἰσχυροὶ ὄντες Θεοπασχῖται.

Πλὴν τοῦ Θεοστηρίκτου, μαρτυρήσαντος ἐν τῇ ἀρχῇ τοῦ θ΄ αἰῶνος, ὅτι ὁ ἅγιος Γερμανὸς συνέταξεν ἐκκλησιαστικοὺς ὕμνους (2), ὁ ἀρχαῖος αὐτοῦ βιογράφος λέγει: «ὕμνους διαφόρους ἐξέθετο τοὺς ἁγίους ἐπαινῶν, καὶ ᾄσματα πρὸς δοξολογίαν τῶν θαυμασίων ἔργων τῆς χάριτος τοῦ Θεοῦ, ὧν εἰς παντελῆ σωτηρίαν τῆς ἀνθρωπίνης ἐκπτώσεως ἐνήργησε». (3). Τοιοῦτοι ὕμνοι τοῦ ἁγίου Γερμανοῦ εἰσι γνωστοὶ καὶ μέχρι τοῦ νῦν, οἷον τὰ στιχηρὰ εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου, εἰς τὴν Γέννησιν τῆς Θεοτόκου, εἰς Συμεῶνα τὸν θαυμαστορείτην, εἰς Ἀθανάσιον τὸν Ἀλεξανδρείας (4), καὶ ἄλλα (5). Ἐπ᾽ ἴσης κανόνες, ὧν οὐχ ἅπαντες διεσώθησαν ἐν τῇ γνησίᾳ αὐτῶν μορφῇ (6).

(1) Ἐν τῇ ἑρμην. τοῦ Τροπαρ. τοῦ β΄ Ἀντιφώνου ap. galland p. 211.

(2) Λόγον ποιησάμενος ὁ βιογράφος οὗτος τοῦ ὁσίου Νικήτα περὶ τῆ λύσσης τοῦ Λέοντος, ἐπάγει: «Ἐν τούτοις μετέστη ὁ μέγας Ἀρχιερεὺς τοῦ θρόνου αὐτοῦ, ἐξέστη τῆς καλιᾶς ἡ σεβασμία χελιδών, ἡ τὸ ἔαρ τῆς Ἐκκλησίας ταῖς καλλιφώνοις κελαδίαις κατακοσμήσασα, καὶ τὰς ἑορτὰς Κυρίου κατασεμνύνασα». Act. Sanct. ad 3 April. p. 260.

(3) Act. SS. ad 12 Maii. T. III. p. 155. 160.

(4) Βλ. Μην. β΄ Φεβρ. η΄ Σεπτεμβρ. κδ΄ Μαΐου, ιη΄ Ἰανουαρ.

(5) Ἄλλα στιχηρὰ Γερμ. τοῦ Π. α) θεοτόκιον εἰς τὴν η΄ Σεπτεμβρ. ἐξαίρετον κατὰ τὸ περιεχόμενον, ἐκδοθ. ἐξ ἀρχ. ἀπογρ. ὑπὸ τῶν Βολλανδιστῶν T. II. Junii p. 40. б) εἰς τὴν Ἀποτομὴν τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου, Αὐγ. κθ΄. γ) εἰς τὸν Μεγαλομ. Δημήτριον, Ὀκτωβρ. κϛ΄. δ) εἰς τὸν Μεγαλομ. Εὐστάθιον, Σεπτ. κ΄. ε) εἰς Συμεῶνα τὸν Στυλίτην ϛ) εἰς Ἰωάννην τὸν Χρυσόστομον, Νοεμβ. ιγ΄.

(6) Γνωστοὶ οἱ ἑξῆς Κανόνες α) εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου,

Ἓν καλαβριανὸν ἀπόγραφον τῆς λειτουργίας τῶν Προηγιασμένων φέρει τὴν ἑξῆς ἐπιγραφήν : « Ἡ θεία λειτουργία τῶν Προηγιασμένων, ἐκτεθεῖσα παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γερμανοῦ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως». Παρομίαν ἐπιγραφὴν φέρει ἕτερον ἀπόγραφον : Ἡ λειτουργία τῶν Προηγιασμένων Γερμανοῦ Πατριάρχου» ([1]). Ἐπειδὴ ἡ λειτουργία τῶν Προηγιασμένων ἦν γνωστὴ ἐπὶ τοῦ Π. Σεργίου καὶ τῇ κατὰ τὸ 680 συγκροτηθείσῃ Συνόδῳ, καὶ ἐπειδὴ ἡ παραχθεῖσα ἐπιγραφὴ οὐ δύναται ἐκληφθῆναι ὡς μαρτύρια περὶ τοῦ συγγραφέως αὐτῆς, διὰ τοῦτο ὑποθετέον, ὅτι ἐστάλη εἰς Καλαβρίαν ὑπὸ τοῦ θείου Πατρὸς ἐντειλαμένου ἐπιτελεῖσθαι αὐτὴν τῇ Μεγάλῃ Τεσσαρακοστῇ κατὰ τὸν κανόνα τῆς Συνόδου.

§. 258. Ἱλαρίων ὁ Νέος καὶ αἱ διδασκαλίαι αὐτοῦ.

Ἱλαρίων ὁ Νέος, ἡγούμενος τῆς Πελεκητῆς καὶ ὁμολογητής.

συντεθεὶς ἐν εἴδει διαλόγου τοῦ Ἀρχαγγέλου πρὸς τὴν πανάχραντον Παρθένον. β) Κανὼν εἰς τοὺς Πατέρας τῶν 6 Οἰκουμ. Συνόδων, καταχωρισθεὶς ἐν τῷ σλαβ. Μηναίῳ ις´ Ἰουνίου ὑπὸ τὸ ὄνομα Γερμανοῦ τοῦ ἱεροῦ καὶ Οἰκουμενικοῦ Πατριάρχου. Ὁ κανὼν οὗτος οὐχ ὑπάρχει ἐν τῷ ἐντύπῳ ἑλλην. Μην., ἀλλ' ὑπάρχει ἐν ἑνὶ ἑλλην. χειρογρ. τῆς Βιέννης (Cod Theolog. 324) ἄνευ τοῦ ὀνόματος τοῦ συγγραφέως. Ἐπειδὴ δὲ ὁ ἅγιος Γερμανὸς ἔγραψε περὶ Συνόδων, πιθανώτατον, ὅτι ἔγραψε καὶ τοῦτον τὸν κανόνα. γ) ἔν τε τῷ ἑλλην. καὶ τῷ σλαβ. Μην. ις´ Αὐγ. ἀναγινώσκεται κανὼν εἰς τὴν ἐξ Ἐδέσσης ἀνακομιδὴν τῆς ἀχειροποιήτου εἰκόνος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς Κωνσταντινούπολιν, καὶ ἐπιγράφεται τῷ ὀνόματι Γερμανοῦ τοῦ Π. δ) ἐν χειρογρ. τοῦ Μην. τοῦ Ἀπριλ., γραφέντι κατὰ τὸν ιβ´ αἰῶνα ὑπὸ τοῦ Θεοκτίστου (Vindob. cod. hist 12.) κατεχωρίσθη κανὼν εἰς τὸν Μεγαλομ. Γεώργιον (κγ´ Ἀπριλ.) ὑπὸ τὸ ὄνομα τοῦ Γερμανοῦ ἐν ἀκροστιχίδι τῶν Θεοτοκίων Τροπαρίων. Αὐτὸ τὸ χειρογρ. τοῦ Θεοκτίστου δείκνυσιν, ὅτι ὁ Κανὼν οὗτος οὐκ ἀνήκει τῷ Π. Γερμανῷ τῷ Νέῳ. Τὰ ἐν τῷ Κανόνι τούτῳ στιχηρὰ ὑπάρχουσι καὶ ἐν τῷ Μην. ἀλλὰ συντετμημένα. ε) ἐν τῷ ἑλλην. καὶ σλαβ. Μην. ὑπάρχει Κανὼν εἰς Ἰωάννην τὸν Νηστευτὴν φέρων τὸ ὄνομα τοῦ Γερμανοῦ (Σεπτεμβρ. β´.) ς) Τῷ Ἀλλατίῳ ἦσαν γνωστοὶ ὕμνοι τοῦ Γερμανοῦ εἰς τὴν ἁγίαν Μαρίαν τὴν Αἰγυπτίαν (De Syn. Photinian p 543).

([1]) Goari Euchollog. p. 200.

« Ὁσιωθεὶς ἐκ παιδός, καὶ ἀναλαβόμενος τὸν σταυρὸν αὐτοῦ, ἠκολούθησε τῷ Χριστῷ, καὶ τὰ τοῦ σώματος πάθη ἐναπομαραίνων, ἔκλεισεν ἑαυτὸν ἐν στενωτάτῳ κελλίῳ, ἔνθα σεπταῖς ἀναβάσεσιν ἐλάμπρυνε τὴν καρδίαν, ἀνεπτέρωσε τὸν νοῦν, μόνον Θεοῦ ἐνωπτρίζετο κάλλος τὸ ἀμήχανον, καὶ ταῖς ἐκεῖθεν ἀκτίσι κατηυγάζετο». Εἶτα δὲ ἠξιώθη τοῦ τῆς ἱερωσύνης ἀξιώματος καὶ ἐγένετο ἡγούμενος τῆς ἐν τῇ Μικρᾷ Ἀσίᾳ, οὐ πόρρω τοῦ Ἑλλησπόντου, Μονῆς τῆς Πελεκητῆς. Εἰ καὶ ὁ βίος αὐτοῦ διέπρεπεν ἐπὶ ὑψηλαῖς ἀρεταῖς καὶ θαύμασι, τὸ δὲ ἡδὺ τῶν ῥημάτων αὐτοῦ ἱλάρυνε τὰς καρδίας τῶν προσερχομένων αὐτῷ πρὸς ἀκρόασιν διδασκαλιῶν, ὅμως οὐκ ἐφείσθησαν αὐτοῦ οἱ θεοστυγεῖς Εἰκονομάχοι. Ὁ ὅσιος Ἰωσὴφ ὁ Ὑμνῳδὸς ᾄδει περὶ αὐτοῦ : « Τίμιος ὁ σὸς Θεοῦ ἔναντι ὤφθη θάνατος, Πάτερ ἱερώτατε· Αὐτοῦ γὰρ ἐτίμησας τὴν εἰκόνα, καὶ ὑπήνεγκας τοὺς διωγμοὺς θλιβόμενος, Ὅσιε, τῶν τυράννων, Μάρτυς ἐν τούτῳ δεικνύμενος»(1). Τοῦτο ἐγένετο βεβαίως, ὅτε ὁ ἐκπληρωτὴς τῆς τοῦ Κοπρωνύμου θελήσεως Λαχανοδράκων, αἴφνης τῇ Μεγάλῃ Πέμπτῃ προσέβαλε τῇ μονῇ Πελεκητῆς, εἰσῆλθεν αὐθαδῶς ὁ παλαμναῖος εἰς τὸν Ναὸν καὶ εἰς τὸ Θυσιαστήριον, διέκοψε τὴν ἱερουργίαν, ἔρριψε κατὰ γῆς τὰ φρικτὰ Μυστήρια, ἐδέσμευσεν ἁλύσεσι τεσσαράκοντα καὶ δύο μοναχοὺς καὶ ἔπεμψεν εἰς Ἔφεσον, τοὺς δὲ λοιποὺς κατεβασάνισε, καὶ τὴν Μονὴν ἐνέπρησε(2). Ὁ ὅσιος Ἰωσὴφ λέγει, ὅτι οἱ θηρευταὶ τὸ πρῶτον οὐ συνέλαβον τὸ θήραμα, αὐτὸν δηλονότι τὸν ἡγούμενον τῆς Πελεκητῆς, κατὰ δέησιν αὐτοῦ, ἀλλ' ἔπειτα παρέδωκεν ἑαυτὸν αὐτοῖς πρὸς κατάπαυσιν τῆς κατὰ τῶν ἀδελφῶν λύσσης (3). Τὴν μακαρίαν τελευτὴν τοῦ Ἱλαρίωνος ἀνενεκτέον εἰς τὸ 754, ὅτε κατ' ἐξοχὴν ὁ ἀλητήριος Εἰκονομάχος ἤρξατο λυσσᾶν (4).

(1) Γ' τροπάρ. τῆς η' ᾠδῆς.
(2) Β. Στεφ. τοῦ Νέου ap Coteler. Monum. Eccles gr. T IV.
(3) Δ' Τροπάρ. τῆς η' ᾠδῆς.
(4) Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ κη' Μαρτίου. Πρὸς διάκρισιν ἀπὸ Ἱλαρίωνος τοῦ Μεγάλου ὀνομάζεται Ἱλαρίων ὁ Νέος. Ἡ ὀνομασία αὕτη χρησιμεύει ὡς ἀπόδειξις, ὅτι ὁ ὅσιος οὗτος ἔπαθεν οὐχὶ ἐπὶ Λέοντος τοῦ Ἀρμενίου, ὡς εἴρηται ἔν τισι Μηνολογίοις, ἀλλ' ἐπὶ τοῦ Κοπρωνύμου κατὰ τὴν μνημονευθεῖσαν καταστροφὴν τῆς Μονῆς· διότι ἐπὶ τοῦ Ἀρμενίου ἔζη ἔτι Ἱλαρίων ὁ Δαλμάτης, ἐπ' ἴσης ὁμολογητὴς καὶ μέγας ἀσκητής.

Ὁ Ὑμνῳδὸς γράφει περὶ τοῦ Ἱλαρίωνος: «Ἀνάπτυξιν τῶν λογίων τῶν θείων ποιούμενος, τὴν γνῶσιν τὴν ἔνθεον, Πάτερ, ἐκεῖθεν ἐξήντλησας, πᾶσι τε μετέδωκας τοῖς εὐσεβῶς, Ἱλαρίων, σοὶ προστρέχουσιν» (¹). Οἱ λόγοι οὗτοι δεικνῦσιν, ὅτι ἦσαν γνωσταὶ τῷ Ὑμνῳδῷ γραπταὶ διδασκαλίαι τοῦ ὁσίου Ἱλαρίωνος—καρπὸς τῆς ἀκριβοῦς γνώσεως τῆς ἁγίας Γραφῆς. Νῦν ἐστι γνωστὴ μακρὰ αὐτοῦ ἐπιστολὴ πρός τινα ἀδελφόν, περιέχουσα ἀξιολόγους παραινέσεις περὶ ἀποταγῆς τοῦ κόσμου, περὶ αὐταπαρνήσεως καὶ πνευματικῆς ἀσκήσεως. Ἀξιόλογος καὶ ἡ ἀρχὴ αὐτῆς: «Τῷ πρεσβυτέρῳ ἀδελφῷ μου καὶ δούλῳ τοῦ Χριστοῦ ὁ πτωχὸς Ἱλαρίων, ὁ ἐλάχιστος καὶ μηδὲν ἔχων ἀγαθόν». Ἅπασα ἡ ἐπιστολὴ ἐγράφη γλώσσῃ εὐσεβοῦς ζωηρότητος καὶ ἀποπνέει οὐράνιον ζωήν. «Πάντες», λέγει, «οἱ τῷ κόσμῳ, οἱ τὸ μοναχικὸν σχῆμα δεξάμενοι, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἐπὶ τῶν ὤμων ἀράμενοι, οἱ τῶν Ἀποστόλων διάδοχοι καλούμενοι! ἀγαπήσωμεν τὰ ἤθη ἐκείνων, ὧν τὸ σχῆμα φέρομεν, ἀκολουθήσωμεν ἐκείνοις, ὧν καλούμεθα μαθηταί, μισήσωμεν τὰ γήϊνα κατα τὸ παράδειγμα τῶν Πατέρων ἡμῶν. Δεῦτε ἐρωτήσωμεν τὸν αὐτόπτην καὶ ὑπουργὸν τοῦ Λόγου τοῦ Θεοῦ, τὸν ἠγαπημένον τοῦ Χριστοῦ μαθητήν, τὸν ἀναπεσόντα ἐπὶ τὸ στῆθος τοῦ Κυρίου καὶ ἐκεῖ τὴν σοφίαν ἀντλήσαντα. Δεῦτε οἱ ἐμπλεκόμενοι ταῖς τοῦ βίου πραγματείαις, δεῦτε οἱ δίψυχοι οἱ μὴ ἀρνησάμενοι τὸν κόσμον .... δεῦτε ἐρωτήσωμεν Ἰωάννην τὸν παρθένον, καὶ αὐτὸς ἀναγγελεῖ ἡμῖν τὸ ὠφέλιμον. Εἰπὲ ἡμῖν, εἰπέ, Ἰωάννη θεολόγε, τὶ δεῖ ἡμᾶς ποιῆσαι, ὅπως σωθῶμεν; Τίσι μέσοις χρώμενοι, δυνάμεθα ἀπαλλαγῆναι τῶν βασάνων καὶ κτήσασθαι τὴν αἰώνιον ζωήν; Ἐφιέμεθα τῆς οὐρανίου βασιλείας· ἀλλ' ἀληθές, ὅτι ἐφιέμεθα; Οὐ δῆλον· παρασυρόμεθα ὑπὸ τῆς πρὸς τὸν κόσμον ἀγάπης· ἀγαπῶμεν τὸν χρυσὸν τοὺς λαμπροὺς οἴκους, τὴν δόξαν, τὴν τιμήν, τὴν ὡραιότητα, καὶ τοῦτο παντὶ πρόδηλον. Διήγησαι ἡμῖν τὴν ἀλήθειαν, Ἀπόστολε, ... διάλλαξον ἡμᾶς πρὸς ἀλλήλους ... οἱ ἐν ἡμῖν πλούσιοι μοναχοὶ φέρονται ὑβρι-

(¹) Β'. Τροπάρ. τῆς δ' ᾠδ. Καὶ ἐν τῷ Β' τροπάρ. τῆς Ζ' ᾠδ. λέγει: «Ὁ λόγος σου πρόεισι, καθάπερ δρόσος, ἐλαύνων τὸν καύσωνα τῆς ἀθυμίας, Ὅσιε, τῶν προσερχομένων σοι πίστει ...»

στικῶς πρὸς τοὺς πτωχούς, οἱ πτωχοὶ κατακρίνουσι τοὺς πλουσίους. Ἀπόκριναι ἡμῖν, καλλονὴ τῶν Ἀποστόλων, Ἰωάννη, ἀπόκριναι ἡμῖν βροντόφωνον στόμα. Καὶ ἰδοὺ ἐκφωνεῖ: Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Πατρὸς ἐν αὐτῷ (Ἐπ. Α΄. β΄. 15). —Ἔπειτα ἐκτίθησιν ὁ ὅσιος διὰ ζωηρῶν χαρακτήρων τοῖς συγχρόνοις μοναχοῖς τὰ οὐ μοναχοῖς πρέποντα ἤθη αὐτῶν. Ἄλλαι τινὲς διδασκαλίαι ἐγράφησαν ἐν τῷ αὐτῷ πνεύματι τῆς ἀκραιφνοῦς εὐσεβείας.

§. 259. Ἰωάννης ὁ Δαμασκηνός, ἐν τῷ βίῳ αὐτοῦ.

Ἀναμφήριστον, ὅτι ὁ ἐπιφανέστατος τῶν διδασκάλων τῆς ὀρθοδοξίας καὶ τῶν ἐκκλησιαστικῶν ὑμνῳδῶν κατὰ ταύτην τὴν περίοδον ἦν ὁ ἅγιος Ἰωάννης, ὁ ἐκ τοῦ τόπου τῆς γεννήσεως αὐτοῦ Δαμασκηνὸς ἐπικληθείς (1).

Ὁ πατὴρ αὐτοῦ Σέργιος, ὑπουργὸς ἐν τῇ αὐλῇ τοῦ Καλίφου τῆς Δαμασκοῦ Ἀβδοὺλ-Μελὶκ τοῦ Α΄. (685-705) ἐζήτει, κατὰ τὸν βιογράφον Ἰωάννην, ἄνδρα πᾶσαν παιδείαν ἐξησκημένον, ἐν ἐπιστήμῃ τυγχάνοντα λόγου παντοίου, καὶ λόγους ἀγαθοὺς τῆς ψυχικῆς καρδίας ἐξερευγόμενον, ἵνα καὶ τὸν αὐτοῦ παῖδα (Ἰωάννην) τοιούτοις ἐκθρέψῃ τοῖς ἐδωδίμοις καὶ καρικεύμασι (§. 7). Τοιοῦτον δ' εὗρεν ἀπροσδοκήτως ἐν τῷ προσώπῳ ἀνδρὸς σχῆμα ἠμφιασμένου μοναδικόν, Κοσμᾶν τὸν ἐκ Καλαβρίας. Οὗτος αἰχμαλωτισθεὶς ὑπὸ πειρατῶν ἐκ Δαμασκοῦ, ἀπήχθη μετὰ τῶν ἄλλων αἰχμαλώτων εἰς τὴν ἀγορὰν τῆς πόλεως ἐκείνης. Ἡ ἐπὶ τοῦ προσώπου αὐτοῦ ἐκλάμπουσα σεμνότης, καὶ τὸ σέβας, ὅπερ ἀπένεμον αὐτῷ οἱ μετ' αὐτοῦ αἰχμάλωτοι, εἵλκυσαν ἐπ' αὐτὸν τὴν προσοχὴν τῶν αἰτιῶν τῆς συμφορᾶς αὐτοῦ. Ἠρώτων αὐτόν τίς τε εἴη τὴν ἐν τῷ κόσμῳ ἀξίαν, καὶ ποῖος τὴν περιφάνειαν ἐν χριστιανοῖς· ὁ δ' ἀπεκρίνετο, ὅτι ἦν ἱερεύς, μοναχός, καὶ φιλοσοφίαν ἐξήσκει, καὶ πικρὰ κατέρρεον τῶν ὀφθαλμῶν αὐτοῦ δάκρυα. Ὁ Σέργιος, κατὰ τὸ εὐσεβὲς αὐτοῦ ἔθος ἀφικόμενος ἐκεῖσε, ἵνα δωρήσητε τὴν ἐλευθερίαν ἐνίοις τῶν δυστυχῶν, καὶ ἰδὼν

(1) Τὸν βίον αὐτοῦ συνέγραψεν ὁ κατὰ τὸν δέκατον αἰῶνα μαρτυρικῶς καταλύσας τὸν βίον Π. τῶν Ἱεροσολύμων Ἰωάννης.

τὸν μοναχὸν ἔνδακρυν, ἠρώτησεν αὐτόν: « Ἵνα τί, ὦ ἄνθρωπε τοῦ Θεοῦ, τὴν τοῦ κόσμου στέρησιν προσκλαίεις, ὁ πάλαι τούτῳ ἀποταξάμενος, καὶ νεκρωθείς, ὡς ὁρῶ ἐκ τοῦ σχήματος; » Ὁ μοναχὸς ἀπεκρίνατο: « Οὐ ταύτης τῆς ζωῆς τὴν στέρησιν ἀποδύρομαι· ἐγὼ γάρ, ὡς εἴρηκας, τῷ κόσμῳ νενέκρωμαι. Τοῦτο δέ με ἀνιᾷ, ὅτι πᾶσαν μετήειν ἀνθρωπίνην σοφίαν, καὶ τὴν ἐγκύκλιον προϋπεθέμην ὥσπερ θεμέλιον· τῇ ρητορικῇ τὴν γλῶσσαν ἐξήσκημαι· ταῖς διαλεκτικαῖς μεθόδοις καὶ ἀποδείξεσι τὸν λόγον πεπαίδευμαι· τὴν ἠθικὴν μετήειν ὅσην ὁ Σταγειρίτης, καὶ ὅσην ὁ τοῦ Ἀρίστωνος παραδέδωκε· τὰ περὶ τὴν φυσικὴν θεωρίαν ἅπασαν, ὡς ἱκανὸν ἀνθρώπῳ ἐντεθεώρηκα· ἀριθμητικῆς δὲ τοὺς λόγους μεμάθηκα· γεωμετρίαν εἰς ἄκρον ἐξήσκημαι· ἁρμολογίας δὲ μουσικῆς καὶ ἀναλογίας ἐκτάκτους σεμνοπρεπῶς κατώρθωκα· ὅσα τε περὶ τὴν οὐράνιον κίνησιν, τὴν τῶν ἀστέρων περιφορὰν οὐ παρέλιπον, ἵν' ἐκ μεγέθους καὶ καλλονῆς τῶν κτισμάτων ἀναλόγως τῇ περὶ τούτων μου γνώσει, καὶ τὴν περὶ τοῦ κτίστου θεωρίαν ἀνάλογον ἕξοιμι.... Τούτων οὖν μεστὸς γεγονώς, οὔπω καὶ ἄλλῳ μεταδοῦναι τῆς ἐξ αὐτῶν ὠφελείας πέφθακα, οὐδὲ παῖδα τεκεῖν διὰ φιλοσοφίας παρόμοιον....» Ταῦτα τὰ ῥήματα ἀκούσας ὁ τοιούτου θησαυροῦ ἐφιέμενος Σέργιος, ὑπερήσθη, καὶ εἶπε τῷ Κοσμᾷ: « Ἔα, ὦ μακάριε ἄνθρωπε καὶ τὴν ψυχὴν παρηγόρησον· ἴσως γὰρ δῴη σοι Κύριος τὰ αἰτήματα τῆς καρδίας σου ». Ταῦτα εἰπὼν ἐλυτρώσατο αὐτόν, παρέλαβεν εἰς τὸν ἴδιον οἶκον, παρηγόρει, ἀνέψυχε τῆς μακρᾶς κακοπαθείας, καὶ κατέστησε διδάσκαλον τοῦ τε ἐκ φύσεως υἱοῦ αὐτοῦ Ἰωάννου καὶ τοῦ ἐξ Ἱεροσολύμων ὁρμωμένου καὶ ἀφ' ἁπαλῶν ἀπορφανισθέντος τῷ σώματι Κοσμᾶ, ὃν εἰς υἱὸν αὐτοῦ πνευματικὸν ἐποιήσατο. Ὁ σοφὸς μοναχὸς ἐδίδαξεν ἀμφοτέρους τὴν γραμματικήν, τὴν διαλεκτικήν, τὴν ἀριθμητικήν, τὴν γεωμετρίαν, τὴν μουσικήν, τὴν ἀστρονομίαν, καὶ ἰδίως τὴν χριστιανικὴν θεολογίαν. Ὁ Ἰωάννης προέκοπτε θαυμαστὸν ὅσον ἐν ταῖς ἐπιστήμαις (1). Ἐν τούτοις κατέλυσε τὸν βίον ὁ Πατὴρ αὐτοῦ Σέργιος. Ὡς μονογενὴς υἱὸς ὁ Ἰωάννης ἐγένετο κληρονόμος

(1) Βλ. ἐγκώμ. Κωνσταντίνου τοῦ Ἀκροπολίτου εἰς τὸν Δαμασκηνόν.

τῆς περιουσίας τοῦ πατρὸς αὐτοῦ καὶ τοῖς ἐξόχοις αὐτοῦ πνευματικοῖς χαρίσμασι καὶ τῇ ἀμφιλαφεῖ παιδείᾳ εἵλκυσεν ἐφ᾿ ἑαυτὸν τὴν προσοχὴν τοῦ Καλίφου Βελιδᾶ (705-715), ὃς κατέστησεν αὐτὸν πρωτοσύμβουλον αὐτοῦ. Ἐπὶ τοῦ Καλίφου τούτου ἔγραψε τὸ κατὰ Ἰακωβιτῶν πόνημα αὐτοῦ ([1]).

Οἱ Ἄραβες οὐδέποτε ἠγάπησαν τὰς ἁγίας εἰκόνας. Τῷ 724 ἐξέδωκεν ὁ Ἰεζὶδ διάταγμα κατ᾿ αὐτῶν ([2]). Ἑπόμενος ταῖς δοξασίαις τοῦ Ἰεζὶδ ὁ Αὐτοκράτωρ Λέων, ἀπηγόρευσε (τῷ 726) διὰ διατάγματος τὴν προσκύνησιν αὐτῶν· τῷ δὲ 728 ἐκήρυξε φανερὸν διωγμὸν τοῖς τιμῶσιν αὐτάς. Βαρὺ ἦν τῷ Ἰωάννῃ τὸ ὁρᾷν τὰς ὑπὸ τῶν Ἀράβων γινομένας τοῖς χριστιανοῖς καταπιέσεις· πολλῷ δὲ βαρύτερον ἦν αὐτῷ τὸ ὁρᾷν χριστιανὸν Αὐτοκράτορα ἀπηνέστατα διώκοντα τοὺς φίλους τῶν Εἰκόνων. Ἐντεῦθεν συνέταξε σύγγραμμα ὑπὲρ τῶν ἁγίων Εἰκόνων, ὅπερ ἀπέστειλεν εἰς Κων]πολιν. «Ἐχρῆν μὲν ἡμᾶς, λέγει ἐν τῷ προοιμίῳ, ἀεὶ τῆς ἑαυτῶν συναισθανομένους ἀναξιότητος, σιγὴν ἄγειν, καὶ Θεῷ τὴν τῶν ἡμαρτημένων ἡμῖν προσάγειν ἐξομολόγησιν· ἀλλ᾿ ἐπειδὴ πάντα καλὰ ἐν καιρῷ αὐτῶν· ὁρῶ δὲ τὴν Ἐκκλησίαν, ἣν ὁ Θεὸς ᾠκοδόμησεν ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου Χριστοῦ τοῦ Υἱοῦ Αὐτοῦ, βαλλομένην ὥσπερ θαλαττίῳ κλύδωνι, κύμασιν ἀλλεπαλλήλοις κορυφουμένῳ, ἐξ ἐπαχθεστάτης φορᾶς τῶν πονηρῶν πνευμάτων κυκωμένην τε καὶ ταραττομένην, καὶ τὸν χιτῶνα Χριστοῦ τὸν ἄνωθεν ὑφαντὸν διαιρούμενον, ὃν ἀσεβῶν διελεῖν ηὐθαδιάσαντο παῖδες, καὶ τὸ σῶμα Αὐτοῦ εἰς διαφόρους κατατομὰς τεμνόμενον, ὅ ἐστιν ὁ τοῦ Θεοῦ Λόγος, καὶ ἡ τῆς Ἐκκλησίας ἄνωθεν κεκρατηκυῖα παράδοσις, οὐκ εὔλογον ἡγησάμην σιγᾷν, καὶ δεσμὸν ἐπιθεῖναι τῇ γλώσσῃ, τὴν ἠπειλημένην ἀπόφασιν ὑφορώμενος, τὴν φάσκουσαν; Ἐὰν ὑποστείλῃ, οὐκ εὐδοκεῖ ἐν σοὶ ἡ ψυχή μου. Καί: Ἐὰν ἴδῃς τὴν ρομφαίαν ἐρχομένην καὶ μὴ ἀναγγείλῃς τῷ ἀδελφῷ σου, ἐκ σοῦ ἐκζητήσω τὸ αἷμα αὐτοῦ. Φόβῳ τοίνυν ἀφορήτῳ βαλλόμενος, ἐπὶ τὸ λέγειν ἐλήλυθα, οὐ βασιλέων ὕψος πρὸ τῆς ἀληθείας τιθείς . . . . Δεινὸν γὰρ βασιλέως

([1]) Τ. Α΄. σελ. 397-427.
([2]) Περὶ τῶν διαδόχων τοῦ Ἀβδοὺλ-Μελὶκ βλ. χρονογρ. Διονυσ. Π. Ἰακωβίτου, ἀκμάσαντος κατὰ τὸν ή αἰῶνα.

λόγος πρὸς ὑπαγωγὴν τῶν ὑπηκόων· ὀλίγοι γὰρ ὅσοι τῶν ἀνέκαθεν βασιλικῶν κατωλιγώρησαν θεσπισμάτων, ὅσοι τὸν ἐπὶ γῆς βασιλέα, βασιλευόμενον οἴδασιν ἄνωθεν, καὶ ὡς κρατοῦσιν οἱ νόμοι τῶν βασιλέων». Ἐν ταύτῃ τῇ ὑπὲρ τῶν ἁγίων εἰκόνων ἀπολογίᾳ οὐδὲ λέξιν εἴρηκε κατὰ τοῦ Λέοντος. Κατὰ παράκλησιν τῶν ἑαυτοῦ φίλων ἔγραψεν ὁ θεῖος Διδάσκαλος ἔτι δύο ἐπιστολιμαίους λόγους ὑπὲρ τῶν ἁγίων εἰκόνων. Ἐν τῷ δευτέρῳ ποιεῖται μετὰ θλίψεως λόγον περὶ τῆς ἐκ τοῦ θρόνου ἐξώσεως τοῦ ὁμολογητοῦ Γερμανοῦ ([1]), καὶ ἐντεῦθεν ἐγράφη τῷ 730. Τοὺς ὑπὲρ τῶν ἁγίων εἰκόνων ἐπιστολιμαίους λόγους τοῦ Ἰωάννου ἀνεγίνωσκον μετ᾽ ἀκροτάτης χαρᾶς ἐν Κωνσταντινουπόλει καὶ ἀλλαχόθι. Οἱ μὲν ἀσθενεῖς ἐστηρίζοντο ὑπ᾽ αὐτῶν ἐν τῇ ὀρθοδοξίᾳ, οἱ δ᾽ ἰσχυροὶ ἐπερρώνυντο ἐν τῇ δυνάμει ([2]). Μαθὼν ὁ Λέων τὸν συγγραφέα τούτων τῶν λόγων, ἐπληρώθη δίψης ἐκδικήσεως. Ὁρμῇ καὶ θυμῷ φερόμενος, ἔγνω ἀποκτῖναι τὸν Πάπαν Γρηγόριον τὸν Β΄ ἄριστα ἐλέγξαντα τὴν ἀσέβειαν αὐτοῦ. Τῷ δ᾽ Ἰωάννῃ ἐξ οὐδενὸς τρόπου ἠδύνατο συγχωρῆσαι· ἀλλὰ κατ᾽ αὐτοῦ δόλῳ μόνον ἠδύνατο χρήσασθαι. Τί δὲ πρὸς ἐκδίκησιν τοῦ ἁγιωτάτου ἀνδρὸς ἐποίησεν; «Ἐπεί, λέγει ὁ βιογράφος, μὴ ἔφερε τὴν τῆς ἀσεβείας αὐτοῦ στηλίτευσιν, ἣν τρανῶς διεκήρυττον τὰ τοῦ Ἰωάννου γράμματα, παρήγγειλεν αὐτοῖς, τὸ τῆς εὐσεβείας προσωπεῖοις περιθεμένοις, διὰ σπουδῆς ποιήσασθαι καὶ διὰ λαλιὰν θέσθαι, οἰκειόγραφον εὑρέσθαι τοῦ Ἰωάννου ἐπιστολήν. Οἱ δὲ τῆς κακίας ὑπασπισταί, οὐκ ἀνῆκαν πάντα κάλων κινοῦντες, τὸν δόλον ὑποκριψάμενοι, καὶ ἀναζητοῦντες ὃ προσετάγησαν, ἕως εὑρόντες τῷ βασιλεῖ ἐνεχείρησαν. Καὶ οὗτος δὲ προσκεκληκώς τινας τῶν ὑπογραφέων αὐτοῦ, τῶν τοῦ Ἰωάννου γραμμάτων προετίθει τοὺς τύπους εἰς μίμησιν, τόν τε τῆς γραφῆς χαρακτῆρα, ὅσον ἐν διανοίᾳ καὶ ὅσον ἐν λέξεσιν. Εὗρεν οὖν ἐν τούτῳ ὑπερετήσοντας ἱκανούς· καὶ δὴ κελεύει ὡς ἐκ τοῦ Ἰωάννου πρὸς

([1]) «Καὶ νῦν ὁ μακάριος Γερμανός, ὁ βίῳ καὶ λόγῳ ἐξαστράπτων, ἐρραπίσθη, καὶ ἐξόριστος γέγονε, καὶ ἕτεροι πλεῖστοι ἐπίσκοποι καὶ Πατέρες, ὧν οὐκ οἴδαμεν τὰ ὀνόματα». Ὁ ἅγιος Γερμανὸς ἐξεώσθη τοῦ θρόνου τῷ 729.

([2]) Βλ. ϐ. τοῦ ἁγ. Στεφ. τοῦ νέου παρὰ Κοτελ. Monum. Eccles. gr T. IV. p. 462. Trithem. Cat. Script.

αὐτὸν δὴ δυσώνυμον βασιλέα ἐγχαράξαι γραμμάτιον». Ἡ ἐπιστολὴ ἀπεστάλη τῷ Καλίφη, ὃς κομισάμενος αὐτήν, διέταξε τὴν δεξιὰν χεῖρα ἐκκοπῆναι τοῦ δῆθεν προδόντος τὸ καθῆκον τῆς πίστεως καὶ τῆς εὐγνωμοσύνης. Ὁ Ἰωάννης ἔπεσεν ὅλος πρηνὴς μετὰ τῆς ἐκκοπείσης χειρὸς πρό τινος ἁγίας εἰκόνος τὸν θεῖον χαρακτῆρα φερούσης τῆς Θεομήτορος, ἧς ἐδέετο θερμότατα δικαιῶσαι τὴν ὑβρισθῆσαν ἀλήθειαν. Καταβεβλημένος ὑπὸ τοῦ παθήματος, ἐτράπη εἰς ὕπνον. Ἀφυπνισθεὶς δέ, καὶ ἰαθείς, εἶτα περιεργασάμενος τὴν κεκομμένην αὐτοῦ χεῖρα, καὶ ἰδὼν αὐτὴν ἰαθεῖσαν ([1]), ἠγαλλιάσατο τῷ πνεύματι καὶ πλήρης εὐγνωμοσύνης ᾖσεν : «Ἐπὶ Σοὶ χαίρει κεχαριτωμένη. πᾶσα ἡ κτίσις....» Ὁ Καλίφης κατιδὼν τὴν ἑαυτοῦ ἀπερισκεψίαν, εἶπε τῷ Ἰωάννῃ : «Ὡς εἴκασμαι, ἄνθρωπε, ἐπ᾽ ἀνευθύνοις ὃ πέπονθας. Καὶ λοιπὸν ἡμῖν σύγγνωθι, ἐφ᾽ οἷς ἀπερισκέπτοις καὶ ἀλογίστοις ταῖς ἀποφάσεσιν ἐπηνέγκαμέν σοι τὴν τιμωρίαν. Ἴθι τοίνυν τὴν προτέραν ἐφέπων ἀρχήν, καὶ πρῶτος ἔσῃ ἐν τοῖς ἡμετέροις συμβούλοις. Οὐ γὰρ πράξαιμέν τι πώποτε τοῦ λοιποῦ ἄνευ σῆς παραινέσεώς τε καὶ συμβουλῆς». Ἀλλ᾽ ὁ Ἰωάννης οὐκ ἠβούλετο ὑπουργεῖν τοῦ λοιποῦ ἐπιγείῳ βασιλεῖ, ἀλλὰ «Χριστῷ ἠκολούθησε μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Ἀραβίᾳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, καὶ εἵλετο μᾶλλον συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν» ([2]).

Διανείμας τοῖς πτωχοῖς ἅπαντα αὐτοῦ τὰ ὑπάρχοντα, ἐλευθερώσας τοὺς δούλους αὐτοῦ, καὶ ἀπελθὼν εἰς Ἱεροσόλυμα, ἐξῆλθεν εἰς τὴν ἔρημον καὶ κατέλαβε τὴν τοῦ θεοφόρου Σάββα Λαύραν. Ἐνταῦθα οἱ γέροντες, εἰδότες τὸν σοφὸν ὑπουργόν, ἠρνοῦντο γενέσθαι διδάσκαλοι αὐτοῦ· ἀλλά τις αὐτῶν, τὸ ἦθος ἁπλοῦς, τὴν γνῶσιν πολύς,

([1]) Περὶ τοῦ θαυμαστοῦ τούτου γεγονότος, πλὴν τοῦ Ἱεροσολύμων Ἰωάννου, γράφουσιν : ὁ ἀρχαῖος συγγραφεὺς τοῦ λόγου περὶ φιλοκόσμων, κεφ. έ, ς΄, ζ΄, καὶ ὁ Vicent. Bellovacensis, ἀκμάσ. κατὰ τὸν ιγ΄ αἰῶνα. Ὁ τελευταῖος ἀπατᾶται λέγων, ὅτι ὁ διατάξας ἐκκοπῆναι τὴν χεῖρα τοῦ Ἰωάννου ὠνομάζετο Θεοδόσιος.

([2]) Ἀπόφανσις τῆς Ζ΄ Οἰκουμενικῆς Συν. Πρ. ς΄.

καὶ αὐστηρὸς μοναχός, ἐδέξατο προθύμως τὸν Ἰωάννην, ὑπέθηκεν αὐτῷ τὸ καλὸν θεμέλιον,—ἀκριβεστάτην ὑπακοήν, καὶ ἀπηγόρευσεν αὐτῷ γράφειν τι. Ἡ τελευταία ἐντολὴ ἦν οὐ ῥᾳδία ἀνδρὶ οὕτω περιπαθῶς ἀγαπήσαντι τὰς ἐπιστήμας. Περιστατικόν δέ τι ἤγαγε τὴν ψυχὴν αὐτοῦ εἰς ἀμφιβολίας πολλῷ βαρυτέρας. Μοναχός τις στερηθεὶς ἀδελφοῦ κατὰ σάρκα, ἐξελιπάρει τὸν Ἰωάννην μελουργῆσαι αὐτῷ τροπάριόν τι πρὸς ἀνακούφισιν τῆς κατεχούσης αὐτὸν θλίψεως. Ὁ Ἰωάννης ἐπὶ πολὺ οὐ κατένευεν· ἀλλ᾽ ἐπὶ τέλους ἔγραψε τοὺς ἐπιταφίους στίχους: «Πάντα ματαιότης τὰ ἀνθρώπινα . . . .» Ἐξαίρετον τὸ τροπάριον καὶ ἄχρι τοῦ νῦν ψάλλεται ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλ᾽ ὁ θεῖος διδάσκαλος παρέβη τὴν ἐντολὴν τοῦ γέροντος, ὅς, μαθὼν τοῦτο, ἐξέβαλεν αὐτὸν τῆς κέλλης. Εἰς μάτην ὁ Ἰωάννης ἐδέετο μετὰ πικρῶν δακρύων τοῦ γέροντος συγχωρῆσαι αὐτῷ· ἐπὶ πολὺ ἐδέοντο αὐτοῦ καὶ οἱ ἀδελφοὶ περὶ τούτου· τέλος ἐκάμφθη, ἀλλ᾽ ἐπὶ τῷ ὅρῳ τοῦ διελθεῖν τὸν Ἰωάννην ἅπασαν τὴν τῆς Λαύρας περιοχὴν καὶ ταῖς χερσὶν αὐτοῦ ἐκκαθᾶραι ἅπαντα τὰ ἀκάθαρτα μέρη τῆς Μονῆς. Μετὰ χαρᾶς ἐπετέλεσεν ὁ υἱὸς τῆς ὑπακοῆς τὴν θέλησιν τοῦ γέροντος, ὃς βαθέως κατανυγεὶς ὑπὸ τῆς τοιαύτης τοῦ πνευματικοῦ αὐτοῦ τέκνου ταπεινώσεως, περιέβαλλεν αὐτόν, καὶ περιεπλέκετο τῷ τραχήλῳ, τὰς δὲ χεῖρας περιεπτύσσετο, τὰ ὄμματα κατησπάζετο, κατεφίλει τοὺς ὤμους. Μετ᾽ οὐ πολὺ δ᾽ ὁ σεβαστὸς γέρων, ἐπιφανείσης αὐτῷ τῆς πανυμνήτου καὶ παναμώμου τοῦ Κυρίου Μητρός, ἐπέτρεψεν αὐτῷ ᾄδειν καὶ γράφειν εἰς δόξαν τῆς ὀρθοδοξίας.

Ὁ Ἱεροσολύμων Π. Ἰωάννης, μεταπεμψάμενος αὐτόν, ἐχειροτόνησε πρεσβύτερον, ἵνα ᾖ ἱερὸς κήρυξ ἐν τῇ Ἐκκλησίᾳ τῶν Ἱεροσολύμων. Μετ᾽ οὐ πολὺ ὁ μὲν Πατριάρχης ἐτελεύτησεν (τῷ 735), ὁ δ᾽ Ἰωάννης ἐπανῆλθεν εἰς τὴν κέλλην αὐτοῦ, ἔνθα ἠσχολεῖτο περὶ σοφοὺς πόνους. Τότε ἔγραψεν ἔλεγχον καὶ ἀνατροπὴν τῶν αἱρέσεων καὶ πλανῶν τοῦ χρόνου ἐκείνου. Τῷ 743 ἔγραψεν ἔλεγχον κατὰ Ἀναστασίου, ἡγουμένου τῆς Μονῆς τῆς ἁγίας Εὐφημίας, καὶ διὰ ζώσης φωνῆς ἔπεισεν αὐτὸν καταλιπεῖν τὴν πλάνην τοῦ Φούλλωνος([1])·

[1] Πέτρος ὁ Φούλλων ἢ Κναφεύς, μοναχὸς αἱρετικὸς καὶ ψευδεπίσκοπος Ἀντιοχείας, ζήσας κατὰ τὸν ε´ αἰῶνα, ὡμολόγει τὴν αἵρεσιν τοῦ

ὅτε δὲ ὁ διάδοχος τοῦ Λέοντος Κωνσταντῖνος ὁ Κοπρώνυμος μετὰ πολλῷ πλείονος, ἢ ὁ πατὴρ αὐτοῦ, λύσσης, κατεπολέμει τὴν προσκύνησιν τῶν ἁγίων Εἰκόνων, καί, ὡς μὴ ὤφελεν, εὗρεν ἐπισκόπους συμφώνους τῇ δυσσεβείᾳ αὐτοῦ, ὁ Ἰωάννης ἀφίκετο εἰς Κωνσταντινούπολιν, ἤλεγξε τὸν Αὐτοκράτορα, καὶ ἀπεκάλει τοὺς ὁμοφρονοῦντας αὐτῷ ἐπισκόπους ταπεινοὺς καὶ ἀνθρωπαρέσκους (1). Αὐτὸς ὁ Κωπρώνυμος ἐν συνόδῳ συστάσῃ τῷ 755 ἐξήνεγκεν ἀπὸ τοῦ ἄμβωνος ἀνάθεμα τῷ Ἰωάννῃ (2). Μετὰ ταῦτα (τῷ 770) ἀπεκρίνατο ὁ θεῖος Πατὴρ διὰ δύο σοφωτάτων ἐλέγχων τοῖς εἰκονομάχοις καὶ τῷ Κοπρωνύμῳ (3). Ἐν τῷ Μηνολογίῳ τοῦ Βασιλείου λέγεται, ὅτι ὁ μέγας Πατὴρ διαφόρως ἐξορισθεὶς ὑπὸ τῶν αἱρετικῶν βασιλέων, καὶ φυλακαῖς παραδοθείς, ἐν πάσῃ ὁμολογίᾳ ἐτελειώθη, ταφεὶς ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ. Κατὰ τὸ Μηναῖον, κατέλυσε τὸν βίον ἐν γήρᾳ πίονι, ζήσας ἔτη ἑκατὸν πρὸ τοῖς τέσσαρσι, πιθανῶς τῷ 777 (4).

§. 260. Παιδεία αὐτοῦ.

Συστηματικὰ συγγράμματα αὐτοῦ περὶ πίστεως.

Τὰ συγγράμματα τοῦ ἁγίου Ἰωάννου διδοῦσιν αὐτῷ ἔντιμον θέσιν ἐν τοῖς μεγάλοις τῆς Ἐκκλησίας Πατράσιν. Ἐν αὐταῖς κατα-

---

Εὐτυχοῦς, ἢ προσέθηκε τὰς πλάνας τῶν Οὐαλεντινιανῶν, τῶν Ἀπολλιναριστῶν, καὶ τῶν Σαβελλιανῶν. Βλ. Νικηφ Ἐκκλ. ἱστορ. βιβλ. ιε΄. καὶ ις΄. Σ. Μ.

(1) Βλ. β. τοῦ ἁγ. Στεφάνου τοῦ νέου Μάρτυρος.

(2) « Μανσοὺρ τῷ κακωνύμῳ καὶ σαρακηνέρονι ἀνάθεμα »! οὕτως ἀνέκραξεν ὁ παλαμναῖος Κοπρώνυμος. Ὁ Κοπρώνυμος λυσσῶν ἀπεκάλει τὸν ἁγιώτατον ἄνδρα Μανζήρ Σ. Μ].

(3) Ἡ ἐπιστολὴ αὐτοῦ πρὸς τὸν Κοπρώνυμον ἦν γνωστὴ τῷ βιογράφῳ τοῦ ἁγ. Στεφάνου τοῦ νέου Μάρτυρος (Coteler. Monum. IV. p. 451.), καὶ ἀναμφίβολον, ὅτι ἐστὶν αὐτὸς ἐκεῖνος ὁ ἔλεγχος ὁ ἐν τῷ ιγ΄ τόμῳ, σελ. 358, τῆς Βιβλ. τοῦ Γαλλανδίου ἐκδοθείς

(4) Οὐδεμία ἀμφιβολία, ὅτι οὐκ ἐπέζησε τῇ Ζ΄ Οἰκουμ. Συν., διότι ἐν αὐτῇ εἶπον: Ἰωάννου αἰωνία ἡ μνήμη. Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ δ΄ Δεκεμβρίου. Ἰωάννης ὁ Φωκᾶς εἶδε κατὰ τὸν ιβ΄ αἰῶνα τὰ λείψανα αὐτοῦ καὶ τοῦ Κοσμᾶ ἐν τῇ Λαύρᾳ τοῦ ἁγ. Σάββα. Ὁ Παχυμέρης

φαίνεται, ὅτι ἐκοσμεῖτο ὑπ' ἀμφιλαφοῦς παιδείας καὶ πνευματικῶν χαρισμάτων πάνυ σπανίων. Ἡ βαθυτάτη γνῶσις τῆς φιλοσοφίας τοῦ Ἀριστοτέλους κατέστησεν αὐτὸν νόα ἔξοχον, ἀκριβῆ ἔν τε ταῖς ἐννοίαις αὐτοῦ καὶ τοῖς λόγοις. Ἐστὶν ὁ πρῶτος συστηματικὸς θεολόγος ἐν τοῖς Πατράσι τῆς Ἐκκλησίας, ὅπερ ἐστὶν ἡ ἀναφαίρετος αὐτοῦ δόξα. Ἡ ἐκμάθησις τῆς Φυσικῆς τοῦ Σταγειρίτου κατέστησεν αὐτὸν ἐξαίρετον εἰς τὰς περὶ κόσμου θεωρίας. Ἦν ἔξοχος ψυχολόγος, καὶ ἐγίνωσκεν ἄριστα τὴν ἱστορίαν τῆς Ἐκκλησίας. Ἀναντίρρητον δ', ὅτι οὔτε πρὸ αὐτοῦ, οὔτε μετ' αὐτὸν ἐκτήσατο ἡ Ἐκκλησία ὑπέρτερον αὐτοῦ ὑμνογράφον.

Τὰ συγγράμματα τοῦ θείου Πατρός εἰσι δογματικά, πολεμικά, ἱστορικά, φιλοσοφικά, ῥητορικά, καὶ ποιητικά. ([1]).

Τὰ τρία αὐτοῦ συγγράμματα: Ἡ Διαλεκτικὴ ἢ Κεφάλαια φιλοσοφικά, περὶ αἱρέσεων, καὶ Ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως ἐπιγράφονται ΠΗΓΗ ΓΝΩΣΕΩΣ, καὶ ἐγράφησαν κατὰ παράκλησιν Κοσμᾶ ἐπισκόπου Μαϊουμᾶ([2]). Ἐν τῷ πρώτῳ, τοῖς Κεφαλαίοις φιλοσοφικοῖς, ἢ ἁπλῶς τῇ Διαλεκτικῇ, ὁ θεῖος Πατὴρ πεπεισμένος, ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον παρὰ τοῦ Πατρὸς τῶν φώτων, συλλέγει, τὸν τῆς μελίσσης τρόπον μιμούμενος, πᾶν τὸ ἐν τῇ ἐθνικῇ φιλοσοφίᾳ ἄριστον, ἀπορρίπτει δὲ πᾶν ὅ, τι φαῦλον καὶ τῆς ψευδωνύμου ἐχώμενον γνώσεως([3]). Ἐν αὐτῷ ποιεῖται ἐπιτομὴν τῆς φιλοσοφίας, ἥ, κατ' αὐτόν, ἐστιν ὄργανον καὶ θεράπαινα τῆς ἀποκεκαλυμμένης γνώσεως([4]). Τὸ πόνημα τοῦτο, ὅπερ κυρίως ἀνήκει εἰς τὴν Λογικήν, συνετέθη κατὰ τὰς Κατηγορίας τοῦ Ἀριστοτέλους καὶ τὴν Εἰσαγωγὴν τοῦ Πορφυρίου. Ἑρμηνεύων τοὺς τεχνικοὺς ὅρους τῆς τῶν ἐθνικῶν Λογικῆς, διασαφηνίζει τὴν σημασίαν αὐτῶν καὶ ἐν τῇ

λέγει (ἱστορ. α'. 13), ὅτι τὰ λείψανα αὐτοῦ μετεκομίσθησαν εἰς Κωνσταντινούπολιν ἐπὶ τοῦ Ἀνδρονίκου.

([1]) Ἡ ἀρίστη τῶν ἐκδόσεων αὐτῶν ἐστιν ἡ τοῦ Lequien, Paris. 1712. in II. Tom.

([2]) Βλ. ἐπ. πρὸς τὸν ἅγ. Κοσμᾶν.

([3]) Πρόλ. σελ. 4.

([4]) Κεφ. α'. σελ. 8.

χριστιανικῇ διδασκαλίᾳ. Λόγον ποιούμενος περὶ φυσικῶν ζητημάτων, προστίθησι βραχείας ἐννοίας περὶ τῆς τοῦ ἀνθρώπου συστάσεως (¹). Τὸ σύγγραμμα τοῦτο μετεφράσθη σλαβιστὶ κατὰ τὸν δέκατον αἰῶνα ὑπὸ Ἰωάννου τοῦ Ἐξάρχου (*).

Ἡ τὸ ἱστορικὸν μέρος τοῦ συγγράμματος ἀποτελοῦσα περὶ αἱρέσεων πραγματεία οὐκ ἔστι πολλοῦ ἀξία.

Τὸ σύγγραμμα: ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως ἐστι συστηματικὴ διδασκαλία περὶ τῶν θεωρητικῶν τῆς Ἀποκαλύψεως ἀληθειῶν. Ὑπ' αὐτοῦ τοῦ Δαμασκηνοῦ διῄρηται εἰς νβ' κεφάλαια· ἡ δὲ εἰς τέσσαρα βιβλία διαίρεσις οὐκ ἐγένετο ὑπ' αὐτοῦ. Ἐν τῷ πρώτῳ βιβλίῳ ἐκτίθεται ἡ διδασκαλία περὶ Θεοῦ: τοῦ ἀκαταλήπτου Αὐτοῦ, τῆς ὑπάρξεως, τοῦ ἑνιαίου κατὰ τὴν οὐσίαν, τοῦ τριαδικοῦ ἐν τοῖς προσώποις καὶ τῶν ἰδιωμάτων Αὐτοῦ. Ἐν τῷ δευτέρῳ ἡ περὶ δημιουργίας τοῦ κόσμου καὶ τῆς τάξεως τῶν μερῶν αὐτοῦ, καὶ περὶ Προνοίας. Ἐν τῷ τρίτῳ ἡ περὶ τῆς θείας οἰκονομίας τοῦ ἀνθρώπου, τουτέστι περὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, περὶ τῶν δύο φύσεων ἐν τῷ Ἐνανθρωπήσαντι καὶ τοῦ ἑνιαίου τῆς ὑποστάσεως· περὶ τῶν ἐπακολουθημάτων τῆς ἐν τῷ Χριστῷ ὑποστατικῆς ἑνώσεως τῶν δύο φύσεων· περὶ τῆς ἀμοιβαίας κοινωνίας τῶν φύσεων καὶ τῶν ἰδιωμάτων· περὶ τοῦ ὅτι ἡ Παναγία Παρθένος ἐστὶ Θεοτόκος, ὅτι ἐν τῷ Χριστῷ δύο θελήματα καὶ δύο ἐνέργειαι, ὅτι τεθέωνται ἥτε φύσις τῆς σαρκὸς Αὐτοῦ καὶ τὸ θέλημα· περὶ τοῦ διὰ τὴν ἡμετέραν σωτηρίαν σταυρικοῦ Αὐτοῦ θανάτου καὶ τῆς εἰς ᾅδου καθόδου Αὐτοῦ. Ἐν τῷ τετάρτῳ βιβλίῳ ἡ περὶ τῆς ἀναστάσεως Αὐτοῦ, περὶ τῶν μετ' αὐτήν, περὶ τῆς ἐκ δεξιῶν τοῦ Πατρὸς Αὐτοῦ καθέδρας· περὶ πίστεως, περὶ τῶν μυστηρίων τοῦ βαπτίσματος καὶ τῆς εὐχαριστίας, περὶ τιμῆς τῶν ἁγίων καὶ τῶν λειψάνων αὐτῶν, περὶ εἰκόνων, περὶ Γραφῆς, περὶ παρθενίας· περὶ περιτομῆς,

(¹) Κεφ. λα'.

(*) Ρουμιάντζεφ χειρόγρ. Ν. 191. 192. Ὅσον ἀφορᾷ εἰς τὴν ὑπὸ τοῦ Ἐξάρχου μεταφρασθεῖσαν Γραμματικὴν τοῦ Δαμασκηνοῦ, ῥητέον, ὅτι οὐχ ὑπάρχει ἐν τοῖς ἑλλην. χειρογρ. Γνωστὸν ἐκ τῶν χειρογρ. Λεξικὸν αὐτοῦ, τοῦτο συνεγράφη οὐχ ὑπ' αὐτοῦ, ἀλλ' ὑπὸ Ἰωάννου τοῦ Ζωναρᾶ Fabric Bibl. gr. VI. 602. 603. IX. 739. 740.

περὶ τοῦ Ἀντιχρίστου καὶ περὶ ἀναστάσεως. Ἐν τούτῳ τῷ πονήματι περιέχεται ἡ διδασκαλία περὶ ἁπάντων τῶν τῆς πίστεως δογμάτων, ἅτινα ὡρίσθησαν καὶ ἐβεβαιώθησαν ἢ ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων, ἢ ὑπὸ τῶν Πατέρων τῶν πρὸ τοῦ ἱεροῦ Διδασκάλου γενομένων. Ἐν αὐτῷ πραγματεύεται ὁ ἅγιος Πατὴρ διὰ μακρῶν περὶ τῆς θεότητος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, περὶ δὲ τῶν ἄλλων δογμάτων διὰ βραχέων, καὶ περὶ ἐνίων δ᾿ αὐτῶν οὐ ποιεῖται μνείαν[1]. Ἐν αὐτῷ παράγει πολλὰ χωρία ἐκ τῶν συγγραμμάτων τῶν ἁγίων Πατέρων, ἰδίως δὲ Γρηγορίου τοῦ Θεολόγου, Βασιλείου τοῦ Μεγάλου καὶ Ἀθανασίου τοῦ Μεγάλου, Ἐντεῦθεν Μακάριος ὁ Ἀγκύρας ὀρθῶς ἀπεκάλει αὐτὸν στόμα καὶ διερμηνευτὴν πάντων τῶν θεολόγων[2]. « Ἡ γνῶσις, λέγει, τοῦ εἶναι Θεὸν φυσικῶς ἡμῖν ἐγκατέσπαρται »[3]· διὸ ἐν τῇ ἐκθέσει τῆς περὶ πίστεως διδασκαλίας χρῆται βοηθῷ καὶ ταῖς σκέψεσι τοῦ ὑπὸ τοῦ φωτὸς τῆς θείας Ἀποκαλύψεως καταυγαζομένου ὀρθοῦ νοῦ. « Ἐπεὶ οὖν, λέγει, ὁ ἀγαθὸς καὶ ὑπεράγαθος Θεὸς οὐκ ἠρκέσθη τῇ Ἑαυτοῦ θεωρίᾳ, ἀλλ᾿ ὑπερβολῇ ἀγαθότητος εὐδόκησε γενέσθαι τινὰ τὰ εὐεργεθησόμενα καὶ μεθέξοντα τῆς Αὐτοῦ Ἀγαθότητος, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγει καὶ δημιουργεῖ τὰ σύμπαντα, ἀόρατά τε καὶ ὁρατά· καὶ τὸν ἐξ ὁρατοῦ καὶ ἀοράτου συγκείμενον ἄνθρωπον. Κτίζει δὲ ἐννοῶν, καὶ τὸ ἐννόημα ἔργον ὑφίσταται, Λόγῳ συμπληρούμενον, καὶ Πνεύματι τελειούμενον »[4].

Γνωστόν, ὅτι τὸ σύγγραμμα τοῦτο ἐχρησίμευσεν ὡς πρότυπον τοῖς τε ἀνατολικοῖς καὶ τοῖς δυτικοῖς θεολόγοις. Εἰς τὴν σλαβικὴν γλῶσσαν μετεφράσθη ἐν τῇ ἀρχῇ τοῦ δεκάτου αἰῶνος. Ὁ μὲν Πέτρος ὁ Λομβάρδος ἐποιήσατο ἐξ αὐτοῦ Ἐπιτομήν. Θωμᾶς δ᾿ ὁ Ἀκυνάτης ἀνέπτυξεν αὐτὸ κατὰ πλάτος. Ἀείποτε δ᾿ ἔσται πάνυ ὠφέλιμον ἐγχειρίδιον τοῖς περὶ τὴν δογματικὴν θεολογίαν σπουδάζουσι[5].

Πλὴν τοῦ συγγράμματος τούτου ἐγράφησαν ἐν συστηματικῇ τά-

---

(1) Οὐκ ἔστιν ἐν αὐτῷ π. χ. ἡ διδασκαλία περὶ χάριτος, περὶ δικαιώσεως, περὶ τῶν ἁγίων μυστηρίων, πλὴν τῶν τοῦ Βαπτίσματος καὶ τῆς Εὐχαριστίας Σ. Μ.

(2) Κατὰ Βαρλαάμ, κεφ. 35.

(3) Βιβλ. Α΄. κεφ. 3.

(4) Βιβλ. Β΄. κεφ. 2.

(5) Περὶ τῆς σλαβ. μεταφρ. βλ. Καλαϊδόβιτζ : Ἰωάννης ὁ Ἔξαρ-

ξει: α) Τὰ ἱερὰ παράλληλα, ἢ ἐκλογαὶ ἀποφθεγμάτων ἐκ τῆς ἁγίας Γραφῆς καὶ τῶν συγγραμμάτων τῶν Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας ἐκλεγεῖσαι περὶ πολλῶν δογματικῶν καὶ ἠθικῶν ἀληθειῶν. Ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς τὸ μὲν πρῶτον διεῖλε τὸ πόνημα τοῦτο εἰς τρία βιβλία, ὧν ἐν μὲν τῷ πρώτῳ ἔγνω πραγματεύσασθαι περὶ Θεοῦ καὶ τῶν θείων πραγμάτων, ἐν δὲ τῷ δευτέρῳ περὶ συστάσεως καὶ καταστάσεως τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ἐν τῷ τρίτῳ περὶ ἀρετῆς καὶ κακίας· ἔπειτα δέ, διὰ τὸ εὔληπτον καὶ τὸ ῥαδίως εὑρίσκειν τοὺς ἀναγνώστας τὰ ζητούμενα, διέταξε τὰ κεφάλαια ἐν ἀλφαβητικῇ τάξει. Τοιούτῳ τρόπῳ συνετάχθη δοκίμιον θεολογικοῦ λεξικοῦ, σύναμα δὲ καὶ περὶ πίστεως καὶ εὐσεβείας δοκίμιον διδασκαλίας. Τὸ σύγγραμμά ἐστι πλείστου ἄξιον, ὑπαρχόντων ἐν αὐτῷ πολλῶν πολυτίμων τῆς ἀρχαιότητος μνημείων, ἅτινα ἄνευ αὐτοῦ οὐκ ἂν διεσώθησαν εἰς ἡμᾶς (¹).

β) Ἡ Εἰσαγωγὴ δογμάτων στοιχειώδης, κατὰ τῶν Ἀκεφάλων, ἢ τῶν Μονοφυσιτῶν, τῶν Μονοθελητῶν, καὶ τῶν Νεστοριανῶν, πρὸς Ἰωάννην ἐπίσκοπον Λαοδικείας. Ἐν αὐτῷ ἑρμηνεύονται οἱ ἐκ τῆς περὶ πίστεως διδασκαλίας τεχνικοὶ ὅροι οὐσία, φύσις, μορφή, ὑπόστασις, πρόσωπον, ἄτομον, διαφορά, ποιότης, ἰδίωμα, κ. τ. λ. (²).

γ) Ὁ Λίβελλος περὶ ὀρθοῦ φρονήματος (³), ἢ ὁμολογία τῆς πίστεως, ὑπαγορευθεῖσα ὑπὸ τοῦ ἁγίου Πατρός, ἐπιδοθεῖσα δὲ ὑπὸ Ἠλία ἐπισκόπου Πέτρῳ Μητροπολίτῃ Δαμασκοῦ. Ἐν τῷ ζ'. κεφαλαίῳ λέγει ὁ θεῖος ἀνήρ, ὅτι στέργει καὶ ἀσμενίζεται

χος, σελ. 19-21. Ρουμιάντζεφ χειρόγρ. Ν. 190. 358.

(¹) Τ. Β'. σελ. 278-738. Ὁ Lequien ἐξέδωκεν ἐν τῷ Β' τόμῳ τῆς ὑπ' αὐτοῦ γενομένης ἐκδόσεως σελ. 731-790 ἔτι παράλληλα ἐκ παρισιανοῦ ἀπογράφου, ἐν πολλοῖς διαφόρου τῶν ἄλλων ἀπογράφων τῶν παραλλήλων κατὰ τὰ ἀποφθέγματα τῶν Πατέρων, ἔνθα ὁρᾶται πόνημα ἀγνώστου, ἀκμάσαντος ἐπὶ τοῦ Αὐτοκράτορος Ἡρακλείου. Ἐν τῷ ἀπογράφῳ τούτῳ ὑπάρχουσιν ἰδίως πολλὰ σπάνια ἀποφθέγματα τῶν Πατέρων. Ὁ πίναξ τῶν ὑπὸ τοῦ Δαμασκηνοῦ παραγομένων Πατέρων in Fabric. Bibl. Gr. IX 722-732.

(²) Τ. Α'. σελ. 515-521.

(³) Ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φαβρικίου.

πάντα τὰ ὑπὸ τῶν ἓξ Οἰκουμενικῶν Συνόδων ὁρισθέντα, ὅτι δέχεται πάντας, οὓς ἐδέξαντο, ὅτι ἀποβάλλεται καὶ ἀναθεματίζει πάντας, οὓς ἀπεβάλοντο, καὶ πᾶσαν αἵρεσιν ἀπὸ Σίμωνος τοῦ Μάγου μέχρι τῶν ἐπ᾽ αὐτοῦ κινηθεισῶν κατὰ τῆς ἁγίας τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἐκκλησίας, δηλ. μέχρι τῶν Εἰκονομάχων (1).

Ἀξιοσημείωτοι καὶ αἱ βραχεῖαι πραγματεῖαι περὶ μερικῶν ὑποθέσεων τῆς πίστεως—περὶ τῆς ἁγίας Τριάδος (2), περὶ θεολογίας, πῶς εἰκονίζει τὸ θεῖον ἄνθρωπος (3), περὶ φύσεως τοῦ ἀνθρώπου (4), περὶ δρακόντων καὶ στρυγγῶν, ὡς προϊόντων δεισιδαίμονος φαντασίας, ἔνθα λέγει ὁ Δαμασκηνός: «Ὄντως σφαλερὸν ἡ ἀμάθεια. Μέγιστα γὰρ βλαπτόμεθα ἐκ τοῦ μὴ ἀναγινώσκειν τὰς ἱερὰς βίβλους καὶ ἐρευνᾷν αὐτάς, κατὰ τὸν τοῦ Κυρίου λόγον. Ἀλλ᾽ ὁ μὲν στρατιώτης λέγει, ὅτι στρατιώτης εἰμὶ καὶ οὐ χρείαν ἔχω ἀναγνώσεως· ὁ δὲ γεωργὸς τὴν γεωργικὴν προφασίζεται, καὶ οἱ καθεξῆς το αὐτό, καὶ ἐσμεν πάντες ἐλλιπεῖς (5). Ἐν τῇ διδασκαλίᾳ περὶ τῆς ἁγίας Τριάδος λέγεται περὶ τοῦ ἁγίου Πνεύματος: «Καὶ ἓν Πνεῦμα Ἅγιον, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ διὰ Υἱοῦ πεφηνός, δηλαδὴ τοῖς ἀνθρώποις». Ἐν τῇ Ἐκδόσει τῆς ὀρθοδόξου πίστεως ἔγραψεν ὁ Δαμασκηνός: «Καὶ μόνον τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορευτὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας, οὐ γεννώμενον, ἀλλ᾽ ἐκπορευόμενον. Οὕτω μὲν τῆς θείας διδασκούσης Γραφῆς . . . . . χρὴ δὲ γινώσκειν, ὅτι τὸν Πατέρα οὐ λέγομεν ἔκ τινος· λέγομεν δὲ αὐτὸν τοῦ Υἱοῦ Πατέρα, τὸν Υἱὸν οὐ λέγομεν αἴτιον οὐδὲ Πατέρα· λέγομεν δὲ αὐτὸν καὶ ἐκ τοῦ Πατρός, καὶ Υἱὸν τοῦ Πατρός. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, καὶ ἐκ τοῦ Πατρὸς λέγομεν, καὶ Πνεῦμα Πατρὸς ὀνομάζομεν. Ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, Πνεῦμα δὲ Υἱοῦ ὀνομάζομεν» (6).

---

(1) Τ. Ά. σελ. 390-395. ὅσον ἀφορᾷ εἰς τὴν Ἔκθεσιν τῆς πίστεως (Τ. Ά. σελ. 663-672), τὴν ἐκ τοῦ ἀραβικοῦ μεταφρασθεῖσαν, πάνυ ἀμφίβολον, εἰ συνεγράφη ὑπὸ τοῦ Δαμασκηνοῦ. Τὸ αὐτὸ ρητέον καὶ περὶ τῆς ἐπιστολῆς περὶ ἐξομολογήσεως καὶ περὶ ἐξουσίας τοῦ δεσμεῖν καὶ λύειν (Τ. Ά. σελ. 601-612).

(2) Τ. Α΄. σελ. 474-477.

(3) Τ. Α΄. σελ. 573-574.

(4) Τ. Ά. σελ. 582.

(5) Τ. Α΄. σελ. 471-473.

(6) Βιβλ. Α΄. κεφ. 8.

§. 261. Ἀπολογία ὑπὲρ τῶν ἁγίων Εἰκόνων· ἄλλα πολεμικὰ συγγράμματα.

Τὸ ἄριστον τῶν πολεμικῶν συγγραμμάτων τοῦ ἁγίου Δαμασκηνοῦ εἰσιν οἱ τρεῖς λόγοι πρὸς τοὺς διαβάλλοντας τὰς ἁγίας Εἰκόνας (¹). Οἱ λόγοι οὗτοι εἰσιν ἐξαίρετοι, ὥστε μετὰ θαυμασμοῦ ἀποφαίνεται περὶ αὐτῶν καὶ ὁ διαμαρτηρητὴς Νέανδρος.

Ἐν τῷ πρώτῳ λόγῳ διευκρινεῖται ἡ προσκύνησις, ἣν ὀφείλομεν ἀποδιδόναι τῷ Θεῷ καὶ δείκνυται, ὅτι ἡ προσκύνησις αὕτη ἐστὶ πάντη διάφορος τῆς τιμῆς, ἣν ὀφείλομεν ἀποδιδόναι τοῖς θεράπουσι καὶ φίλοις Αὐτοῦ. Ἀποδείκνυται, ὅτι ὁ Μωϋσῆς ἀπηγόρευσε τὴν εἰκονογραφίαν, ἵνα μὴ περιπέσωσιν οἱ Ἰσραηλῖται τῇ εἰδωλολατρείᾳ, καὶ διότι ἀδύνατον εἰκονίζεσθαι Θεὸν τὸν ἄποσον, καὶ ἀπερίγραπτον, καὶ ἀόρατον. Ἡ δὲ ἀπαγόρευσις τῆς Παλαιᾶς Διαθήκης κατὰ τῆς τιμῆς τῶν εἰδώλων οὐκ ἀντιφάσκει πρὸς τὴν ἔλλογον τιμὴν τῶν Εἰκόνων. Ἀντικείμενον ἐκείνης εἰσὶ τὰ εἴδωλα, καρπὸς νοὸς μὴ ἔχοντος ὑπ᾿ ὄψιν τὸν ἀληθῆ Θεόν· αὕτη ἐδόθη τοῖς Ἰουδαίοις, ὡς ἐδόθη ὁ νόμος τῆς Περιτομῆς ὁ μὴ ἔχων σχέσιν πρὸς τοὺς χριστιανούς. «Πάλαι μὲν ὁ Θεός, λέγει, ὁ ἀσώματός τε καὶ ἀσχημάτιστος, οὐδαμῶς εἰκονίζετο. Νῦν δὲ σαρκὶ ὀφθέντος Θεοῦ, καὶ τοῖς ἀνθρώποις συναναστραφέντος, εἰκονίζω Θεοῦ τὸ ὁρώμενον. Οὐ προσκυνῶ τῇ ὕλῃ, προσκυνῶ δὲ τὸν ὕλης Δημιουργόν, τὸν ὕλην δι᾿ ἐμὲ γενόμενον, καὶ ἐν ὕλῃ κατοικῆσαι καταδεξάμενον, καὶ δι᾿ ὕλης τὴν σωτηρίαν μου ἐργασάμενον, καὶ σέβων οὐ παύομαι τὴν ὕλην, δι᾿ ἧς ἡ σωτηρία μου εἴργασται· σέβω δὲ οὐχ ὡς Θεόν· ἄπαγε· πῶς γὰρ τὸ ἐξ οὐκ ὄντων τὴν γένεσιν ἐσχηκός, Θεός; Εἰ καὶ τὸ τοῦ Θεοῦ σῶμα Θεός, διὰ τὴν καθ᾿ ὑπόστασιν ἕνωσιν γεγονὸς ἀμεταβλήτως ὅπερ τὸ χρίσαν, καὶ μεῖναν ὅπερ ἦν τὴν φύσιν, σὰρξ ἐψυχωμένη ψυχικῇ λογικῇ τε καὶ νοερᾷ, ἠργμένη, οὐκ ἄκτιστος. Τὴν δέ γε λοιπὴν ὕλην σέβω, καὶ δι᾿ αἰδοῦς ἄγω, δι᾿ ἧς ἡ σωτηρία μου γέγονεν, ὡς θείας ἐνεργείας καὶ χάριτος ἔμπλεων. Ἢ οὐχ ὕλη τὸ τοῦ σταυροῦ ξύλον, τὸ τρισόλβιον καὶ τρισμακάριστον; Ἢ οὐχ ὕλη τὸ ὄρος τὸ σεπτὸν καὶ ἅγιον;

(²) Τ. Α. σελ. 307-390.

ὁ τοῦ Κρανίου τόπος; Ἢ οὐχ ὕλη ἡ φερέσβιος πέτρα καὶ ζωηφόρος, ὁ τάφος ὁ ἅγιος, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως; Ἢ οὐχ ὕλη τὸ μέλαν καὶ ἡ τῶν Εὐαγγελίων παναγία βίβλος; Ἢ οὐχ ὕλη ἡ ζωηφόρος τράπεζα ἡ τὸν ἄρτον ἡμῖν τῆς ζωῆς χορηγοῦσα; Ἢ οὐχ ὕλη ὁ χρυσός τε καὶ ὁ ἄργυρος, ἐξ ὧν σταυροὶ καὶ πίνακες κατασκευάζονται, καὶ ποτήρια; Ἢ οὐχ ὕλη πρὸ τούτων ἁπάντων τὸ τοῦ Κυρίου ἡμῶν Σῶμα καὶ Αἷμα; . . . Ἀλλὰ φησί: ποίει Χριστοῦ εἰκόνα, καὶ ἀρκέσθητι, ἢ τῆς τούτου Μητρὸς τῆς Θεοτόκου. Ὢ τῆς ἀτοπίας! Ἐχθρὸν σεαυτὸν διαρρήδην τῶν ἁγίων καθωμολόγησας. Εἰ γὰρ Χριστοῦ μὲν εἰκόνα ποιεῖς, τῶν δὲ ἁγίων οὐδαμῶς, δῆλον, ὡς οὐχὶ τὴν εἰκόνα ἀπαγορεύεις, ἀλλὰ τὴν τῶν ἁγίων τιμήν . . . . Οὐ κατὰ τῶν εἰκόνων ἦρω τὸν πόλεμον, ἀλλὰ κατὰ τῶν ἁγίων . . . . . Ναοὺς ἐγείρεις ἁγίοις Θεοῦ, καὶ τὰ τούτων ἔγειρε τρόπαια. Οὐκ ἠγείρετο πάλαι ναὸς ἐπ' ἀνθρώπων ὀνόματι, οὐχ ἑωρτάζετο τῶν δικαίων ὁ θάνατος, ἀλλ' ἐπενθεῖτο. Ὁ ἁπτόμενος νεκροῦ ἀκάθαρτος ἐλογίζετο, καὶ Μωϋσέως αὐτοῦ. Νῦν δὲ τῶν ἁγίων ἑορτάζεται τὰ μνημόσυνα. . . . Ἀφ' οὗ γὰρ ὁ Θεὸς Λόγος σὰρξ ἐγένετο, ὁμοιωθεὶς ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας, καὶ ἀσυγχύτως ἐκράθη πρὸς τὸ ἡμέτερον, καὶ ἀμεταβλήτως τὴν σάρκα ἐθέωσε, διὰ τῆς ἐν ἀλλήλοις τῆς Αὐτοῦ Θεότητος καὶ τῆς Αὐτοῦ σαρκὸς ἀσυγχύτου παραχωρήσεως, ὄντως ἡγιάσμεθα. Καὶ ἀφ' οὗ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὁ ἀπαθὴς ὢν τῇ Θεότητι, τῷ προσλήμματι πέπονθε, καὶ τὸ ἡμέτερον ἀπέτισεν ὄφλημα, λύτρον ἐκχέας ὑπὲρ ἡμῶν ἀξιόχρεών τε καὶ ἀξιάγαστον· δυσωπητικὸν γὰρ Πατρὶ καὶ αἰδέσιμον αἷμα Υἱοῦ, ὄντως ἠλευθερώμεθα· καὶ ἀφ' οὗ κατελθὼν εἰς ᾅδην, ταῖς ἀπ' αἰῶνος πεπεδημέναις ψυχαῖς, ὡς αἰχμαλώτοις ἐκήρυξεν ἄφεσιν, ὡς τυφλοῖς ἀνάβλεψιν, καὶ δήσας τὸν ἰσχυρόν, τῷ ὑπερέχοντι τῆς δυνάμεως ἀνέστη, τὸ ἐξ ἡμῶν Αὐτῷ προσληφθὲν ἁμαρτίας σαρκίον, ὄντως ἠφθαρτίσμεθα. Ἀφ' ὅτου δι' ὕδατος καὶ Πνεύματος γεγεννήμεθα, ὄντως υἱοθετήμεθα, καὶ κληρονόμοι Θεοῦ γεγεννήμεθα . . . . Ἐντεῦθεν οὐχ ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν ἐσμέν, δικαιωθέντες διὰ τῆς πίστεως, καὶ Θεὸν μόνον εἰδότες τὸν ἀληθινόν· δικαίῳ δὲ νόμος οὐ κεῖται. Οὐχ ὑπὸ τὰ στοιχεῖα τοῦ νόμου δεδουλωμένοι, ὡς νήπιοι, ἀλλ' εἰς ἄνδρα καταρτισθέντες τέλειον, στερεὰν τροφὴν τρεφόμεθα, οὐ τὴν πρὸς εἰδωλολατρεί-

αν. . . ». Ἐν τῷ τέλει τοῦ λόγου παράγει πολλὰ χωρία τῶν Πατέρων ὑπὲρ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, Διονυσίου τοῦ Ἀρεοπαγίτου, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Νύσσης, Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Λεοντίου Νεαπόλεως τῆς Κύπρου.

Ἐν τῷ δευτέρῳ λόγῳ ἀναπτύσσει ὁ ἅγιος Πατὴρ τὴν ἔννοιαν, ὅτι οὐ δεῖ ἐπιτελεῖν τὰς ἀντικειμένας τῇ θελήσει τοῦ Θεοῦ ἀπαγορεύσεις τῆς ἐπιγείου ἐξουσίας. Τοιοῦτον δὲ ἦν τὸ κατὰ τῶν ἁγίων Εἰκόνων διάταγμα τοῦ Αὐτοκράτορος.

Ἐν τῷ τρίτῳ λόγῳ ἀποδείκνυσιν, ὅτι αἱ εἰκόνες εἰσὶν ἀναγκαῖαι τῇ ἀνθρωπίνῃ φύσει. «Ἐπειδὴ γάρ, λέγει, διπλοῖ ἐσμεν, ἐκ ψυχῆς καὶ σώματος κατεσκευασμένοι, καὶ οὐ γυμνὴ ἡμῶν ἐστιν ἡ ψυχή, ἀλλ᾽ ὡς ὑπὸ παραπετάσματι καλύπτεται, ἀδύνατον ἡμᾶς ἐκτὸς τῶν σωματικῶν ἐλθεῖν ἐπὶ τὰ νοητά. Ὥσπερ οὖν διὰ λόγων αἰσθητῶν ἀκούομεν ὠσὶ σωματικοῖς, καὶ νοοῦμεν τὰ πνευματικά, οὕτω διὰ σωματικῆς θεωρίας ἐρχόμεθα ἐπὶ τὴν πνευματικὴν θεωρίαν. Διὰ τοῦτο σῶμα καὶ ψυχὴν ἀνέλαβεν ὁ Χριστός, ἐπειδὴ σῶμα καὶ ψυχὴν ἔχει ὁ ἄνθρωπος· διὰ τοῦτο καὶ τὸ βάπτισμα διπλοῦν, ἐξ ὕδατος καὶ πνεύματος, καὶ ἡ κοινωνία, καὶ ἡ προσευχὴ καὶ ἡ ψαλμῳδία, πάντα διπλᾶ, σωματικὰ καὶ πνευματικά, καὶ φῶτα καὶ θυμιάματα». Ὡς πρὸς τὴν ἀπαγόρευσιν τῶν ὁμοιωμάτων λέγει τάδε: «Ὥσπερ γὰρ ἐπιστήμων ἰατρὸς οὐ τὸ αὐτὸ εἶδος πᾶσι δίδωσι πάντοτε, ἀλλ᾽ ἑκάστῳ τὸ ἐπιτήδειον παρέχει καὶ πρόσφορον φάρμακον, διακρίνων καὶ χώραν, καὶ νόσον, καὶ ὥραν τουτέστι καιρόν, καὶ ἕξιν, καὶ ἡλικίαν· καὶ τῷ μὲν νηπίῳ ἕτερον, τῷ δὲ τελείῳ κατὰ τὴν ἡλικίαν ἕτερον· ἄλλο τῷ ἀσθενεῖ, καὶ ἄλλο τῷ ὑγιαίνοντι· καὶ ἑκάστῳ τῶν ἀσθενούντων οὐ τὸ αὐτό, ἀλλὰ πρὸς τὴν ἕξιν καὶ νόσον· καὶ ἄλλο τῷ θέρει, καὶ τῷ χειμῶνι ἕτερον, μετοπώρῳ τε καὶ ἔαρι, καὶ ἐν ἑκάστῳ τόπῳ, κατὰ τὴν τόπου ἐπιτηδειότητα· οὕτω καὶ ὁ ἄριστος τῶν ψυχῶν ἰατρὸς τοῖς ἔτι νηπίοις καὶ ἀρρωστοῦσι τὴν πρὸς τὴν εἰδωλολατρείαν νόσον, καὶ τὰ εἴδωλα θεοὺς ἡγουμένοις, καὶ ὡς θεοῖς αὐτὰ προσκυνοῦσι, καὶ ἀθετοῦσι τὴν τοῦ Θεοῦ προσκύνησιν, καὶ τὴν Αὐτοῦ δόξαν τῇ κτίσει προσάγουσιν, ἀπηγόρευσε τοῦ ποιεῖν εἰκόνας». Ἑρμηνεύσας τὴν περὶ εἰκόνος ἔννοιαν καὶ καταλέξας τὰ εἴδη αὐτῆς, λέγει περὶ τῆς ἀρχῆς τῶν εἰκόνων τάδε: «Αὐτὸς ὁ Θεὸς πρῶτος

ἐγέννησε τὸν μονογενῆ Υἱὸν καὶ Λόγον Αὐτοῦ, εἰκόνα Αὐτοῦ ζῶσαν, φυσικήν, ἀπαράλλακτον χαρακτῆρα τῆς Αὐτοῦ ἰδιότητος· ἐποίησέ τε τὸν ἄνθρωπον κατ᾽ εἰκόνα Αὐτοῦ καὶ ὁμοίωσιν. Καὶ Ἀδὰμ εἶδε Θεόν, καὶ ἤκουσε τῆς φωνῆς τῶν ποδῶν Αὐτοῦ περιπατοῦντος τὸ δειλινόν, καὶ ἐκρύβη ἐν τῷ παραδείσῳ· καὶ Ἰακὼβ εἶδε, καὶ ἐπάλαισε μετὰ Θεοῦ. Δῆλον δέ, ὅτι ὡς ἄνθρωπος ἐφάνη αὐτῷ ὁ Θεός· καὶ Μωϋσῆς ὡς ὀπίσθια ἀνθρώπου εἶδε, καὶ Ἡσαΐας ὡς ἄνθρωπον εἶδε καθήμενον ἐπὶ θρόνου· καὶ Δανιὴλ ὁμοίωμα ἀνθρώπου εἶδε, καὶ ὡς υἱὸν ἀνθρώπου ἐλθόντα ἐπὶ τὸν Παλαιὸν τῶν ἡμερῶν· καὶ οὐ φύσιν Θεοῦ εἶδέ τις, ἀλλὰ τὸν τύπον καὶ τὴν εἰκόνα τοῦ μέλλοντος ἔσεσθαι». Ἔμελλε γὰρ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀόρατος, ἄνθρωπος γίνεσθαι ἐν ἀληθείᾳ, ἵνα ἑνωθῇ τῇ φύσει ἡμῶν καὶ ὁραθῇ ἐπὶ γῆς· προσεκύνησαν οὖν πάντες οἱ ἰδόντες τὸν τύπον καὶ τὴν εἰκόνα τοῦ μέλλοντος, καθὼς Παῦλός φησιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. Ἐγὼ οὖν μὴ ποιήσω εἰκόνα τοῦ δι᾽ ἐμὲ ὀφθέντος σαρκὸς φύσει; καὶ προσκυνήσω καὶ τιμήσω αὐτὸν διὰ τῆς εἰς τὴν εἰκόνα Αὐτοῦ τιμῆς καὶ προσκυνήσεως; Εἶδεν Ἀβραὰμ οὐ φύσιν Θεοῦ· Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, ἀλλ᾽ εἰκόνα Θεοῦ, καὶ πεσὼν προσεκύνησε . . .». Δείξας δὲ περαιτέρω τὰ εἴδη τῆς προσκυνήσεως, περαίνει, τὸν λόγον ὧδε : « Μὴ οὖν σκιᾶς ἀσθενεστέραν καὶ ἀτιμοτέραν λογισώμεθα τὴν εἰκόνα· σκιογραφεῖ γὰρ ἀληθῶς τὸ πρωτότυπον. Ἀδελφοί, ὁ Χριστιανὸς πίστις ἐστίν, ὁ οὖν πίστει προσερχόμενος κερδανεῖ πολλά· ὁ δὲ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης, ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ, ὃς οὐ μὴ λήψηται οὐδέν. Πάντες γὰρ οἱ ἅγιοι διὰ πίστεως εὐηρέστησαν τῷ Θεῷ. Δεξώμεθα οὖν τὴν παράδοσιν τῆς Ἐκκλησίας ἐν εὐθύτητι καρδίας, καὶ μὴ ἐν πολλοῖς λογισμοῖς . . . . Μὴ καταδεξώμεθα νέαν πίστιν μαθεῖν, ὡς κατεγνωσμένης τῆς τῶν ἁγίων Πατέρων παραδόσεως . . . . Προσκυνοῦμεν οὖν ταῖς εἰκόσιν οὐ τῇ ὕλῃ προσφέροντες τὴν προσκύνησιν, ἀλλὰ δι᾽ αὐτῶν τοῖς ἐν αὐτοῖς εἰκονιζομένοις. Ἡ γὰρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, καθώς φησιν ὁ θεῖος Βασίλειος. Ὑμᾶς δὲ ἱερώτατον

τοῦ Χριστοῦ ποίμνιον, ὁ Χριστώνυμος λαός, τὸ ἔθνος τὸ ἅγιον, τὸ σῶμα τῆς Ἐκκλησίας, ἐμπλῆσαι Χριστὸς τῆς χαρᾶς τῆς Αὐτοῦ Ἀναστάσεως, καὶ καταξιῶσαι ἑπομένους τοῖς ἴχνεσι τῶν ἁγίων, τῶν Ποιμένων καὶ Διδασκάλων τῆς Ἐκκλησίας, προαγομένους τυχεῖν τῆς δόξης Αὐτοῦ ἐν ταῖς λαμπρότησι τῶν ἁγίων· ἧς γένοιτο ἐπιτυχεῖν τῇ Αὐτοῦ χάριτι, αἰωνίους Αὐτὸν δοξάζοντας σὺν τῷ ἀνάρχῳ Πατρί, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν». Μετὰ τὸν ἐπίλογον τοῦτον παράγει, ὡς ἐν τῷ α΄ καὶ β΄ λόγῳ, μαρτυρίας πολλῶν Πατέρων ὑπὲρ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων.

Τὸ σύγγραμμα τοῦ Δαμασκηνοῦ κατὰ τῆς αἱρέσεως τῶν Νεστοριανῶν (1) διαπρέπει ἐπὶ ἀκριβείᾳ, δυνάμει, καὶ πλούτῳ ἐννοιῶν. Τὰ συγγράμματα αὐτοῦ κατὰ Μονοφυσιτῶν, Μονοθελητῶν(2) καὶ Μανιχαίων(3) ἐγράφησαν, ὡς καὶ τὸ κατὰ Νεστοριανῶν ἐν φιλοσοφικῷ πνεύματι, ἀλλ᾽ εἰσὶν ἥττονος λόγου ἄξια. Πολλῷ δ᾽ ἧττον ἀξία λόγου ἐστὶν ἡ Διάλεξις Σαρακηνοῦ καὶ Χριστιανοῦ, γραφεῖσα ὑπ᾽ ἀγνώστου ἐκ τῶν λόγων τοῦ ἁγίου Πατρός, οὐχὶ δ᾽ ὑπ᾽ αὐτοῦ (4).

§. 262. Ἑρμηνεία εἰς τὴν ἁγίαν Γραφήν· ὡς ῥήτωρ, ποιητὴς καὶ ἱστορικός.

Ὁ ἅγιος Δαμασκηνὸς ἠσχολήθη ὀλίγον περὶ τὴν ἑρμηνείαν τῆς

(1) Τ. Α΄. σελ. 559-571.

(2) Περὶ τῆς θείας φύσεως Τ. Α΄. σελ. 521-527. Τόμος ὡς ἐκ προσώπου Πέτρου τοῦ ἁγιωτάτου ἐπισκόπου Δαμασκοῦ πρὸς τὸν ἐπίσκοπον δῆθεν τοῦ Δαρέας καὶ Ἰακωβίτην. Τ. Α΄. σελ. 397-427. Κατὰ τῶν Μονοφυσιτῶν ἐγράφη ἐπ᾽ ἴσης ἡ ἐπιστολὴ πρὸς Ἰωάννην Ἀρχιμανδρίτην περὶ τοῦ τρισαγίου ὕμνου. Τ. Α΄. σελ. 487-497. Κατὰ τῶν Μονοθελητῶν ἐγράφη τὸ σύγγραμμα: περὶ τῶν ἐν τῷ Χριστῷ δύο θελημάτων καὶ ἐνεργειῶν καὶ λοιπῶν φυσικῶν ἰδιωμάτων· ἐξ ἐπιδρομῆς δὲ καὶ περὶ δύο φύσεων καὶ περὶ μιᾶς ὑποστάσεως. Τ. Α΄. σελ. 529-554.

(3) Τ. Α΄. σελ. 429-465.

(4) Ὁ Lequien ἐξέδωκεν αὐτὴν ἐν τῷ Α΄. τόμῳ σελ. 461-470 μόνον λατινιστί. Ἑλλην. καὶ λατιν. ἐξέδωκεν αὐτὴν ὁ Γαλλάνδιος ἐν τῷ ΙΓ΄. τόμ. τῆς Βιβλ. τῶν Πατέρων.

ἁγίας Γραφῆς. Αἱ σημειώσεις αὐτοῦ εἰς τὰς Ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου οὐδὲν ἄλλο εἰσίν, ἢ ἐκλογαὶ ἐκ τῆς καθόλου ἑρμηνείας Ἰωάννου τοῦ Χρυσοστόμου ἐκλεγεῖσαι [1]. Δυστυχῶς οὔπω ἐξεδόθη τὸ σύγγραμμα αὐτοῦ περὶ τῆς μεταφράσεως τῆς ἁγίας Γραφῆς [2]. Ἡ ὑπ' αὐτοῦ γενομένη ἀπαρίθμησις τῶν κανονικῶν βιβλίων, τῶν ἀκανονίστων, καὶ τῶν ἀποκρύφων [3] ἐστὶ γνωστὴ ἐν τῇ ἀρχαίᾳ σλαβικῇ μεταφράσει [4].

Ὡς ρήτωρ ὁ ἅγιος Δαμασκηνὸς κατέλιπέ τινας ὁμιλίας, ὡς εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου, εἰς τὴν Γέννησιν καὶ εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου ἐν αἷς πολλὴ μᾶλλον ἡ περὶ τὸν λόγον εὐφράδεια ἢ ἡ δύναμις [5]. Ὁ Λόγος περὶ τῶν ἐν πίστει κεκοιμημένων, ὅτι αἱ ὑπὲρ αὐτῶν γενόμεναι

---

(1) Τ. Β'. σελ. 1-274.

(2) Μένει ἐν τοῖς χειρογρ. τῆς Κοϊσλιν. Βιβλ. Montfaucon. Bibl. Coislin. 499.

(3) Ἐν χειρογρ. τῆς Κοϊσλιν. Βιβλ.: «περὶ τοῦ Δεκαλόγου, περὶ τῶν βιβλίων τῆς ἁγ. Γραφῆς, περὶ τῶν ξ'. βιβλίων». Μετὰ τὸν Πρόλογον ἡ ἀπαρίθμησις τῶν κανονικῶν βιβλίων, καὶ τῶν ἔξω βιβλίων, ἐν οἷς τάσσονται. 1 ἡ Σοφία τοῦ Σωλομῶντος, τὰ Δ' βιβλία τῶν Μακκαβαίων, ἡ Ἰουδίδ, ὁ Τωβίτ· τὰ Ἀπόκρυφα 1 Ἀδάμ· 2 Ἐνώχ· 3 Λάμεχ· 4 Πατριάρχαι· 5 Προσευχὴ τοῦ Ἰωσήφ· 6 Ἐλδὰδ καὶ Μωδάδ· 7 Διαθήκη τοῦ Μωϋσέως· 8 (ἐλλείπει)· 9 Ψαλμὸς τοῦ Σολομῶντος· 10 Ἀποκάλυψις τοῦ Ἠλιού· 11 Ὅρασις τοῦ Ἠσαΐου· 12 Ἀποκάλυψις τοῦ Σοφονίου· 13 Ἀποκάλυψις τοῦ Ζαχαρίου· 14 Ἀποκάλυψις τοῦ Ἔσδρα· 15 Ἱστορία τοῦ Ἰακώβ· 16 Ἀποκάλυψις τοῦ Πέτρου· 17 Διδασκαλία τῶν Ἀποστόλων· 18 Ἐπιστολὴ τοῦ Βαρνάβα· 19 Πράξεις τοῦ Παύλου· 20 Ἀποκάλυψις τοῦ Παύλου· 21 Διδασκαλία τοῦ Κλήμεντος· 22 Διδασκαλία τοῦ Ἰγνατίου· 23 Διδασκαλία τοῦ Πολυκάρπου· 24 Εὐαγγέλιον τοῦ Βαρνάβα· 25 Εὐαγγέλιον τοῦ Ματθίου· οὕτω παρὰ τῷ Μοντφωκονίῳ in Bibl. Coislin. — Ὁ Κλαϊνόβιτζ ἐτύπωσε τὴν ἀρχαίαν σλαβ. μετάφρασιν τούτου τοῦ καταλόγου ἀλλὰ μόνον τῶν κανονικῶν βιβλίων (Ἰωάν. Ἔξαρχ. σελ. 136). Ἐν τῷ σλαβ. χειρογρ. ὑπάρχει πλήρης.

(4) Ἰωάν. Ἔξαρχ. σελ. 136.

(5) Εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου τρεῖς λόγοι ἐν χειρογρ.

λειτουργίαι καὶ εὐποιΐαι τούτους ὀνίνησιν, ὁ ἀποδιδόμενος Ἰωάννῃ τῷ Δαμασκηνῷ, οὐκ ἔστι πόνημα αὐτοῦ. Αἱ ἐν αὐτῷ διηγήσεις περὶ τῆς ἐθνικῆς Φολκονίλλης, ἀπαλλαγείσης ἐκ τοῦ ᾅδου τῇ προσευχῇ τῆς Μάρτυρος Θέκλης, καὶ αἱ περὶ τοῦ Αὐτοκράτορος Τραϊανοῦ σωθέντος τῇ προσευχῇ Γρηγορίου τοῦ Διαλόγου, οὐδὲν ἄλλο εἰσίν, ἢ μῦθος. Ἐν τῇ περὶ τῶν ὀκτὼ τῆς πονηρίας πνευμάτων ἐπιστολῇ γράφει ὁ ἅγιος Πατὴρ πολλῷ κάλλιον ἐνιαχοῦ, ἢ ὁ Κασσιανὸς καὶ ὁ Εὐάγριος ἐν τοῖς περὶ τῆς αὐτῆς ὑποθέσεως συγγράμμασιν αὐτῶν (¹).

Ὡς ἐκκλησιαστικὸς ὑμνογράφος Ἰωάννης ὁ Δαμασκηνὸς ἐστὶν ἀπαράμιλλος. Ἡ εἰς τὸ Πάσχα Ἀκολουθία αὐτοῦ ἐστιν ὕμνος πανηγυρικώτατος καὶ τὰ μάλιστα ἄξιος τῆς ὑποθέσεως ἐκείνης (²). Οἱ κανόνες εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ, εἰς τὰ Θεοφάνια, καὶ εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου μετὰ τῶν στιχηρῶν εἰσι παραπλήσιοι τῷ πασχαλίῳ. Ἡ δὲ Ὀκτώηχος αὐτοῦ ἤτοι αἱ ἀναστάσιμοι ἀκολουθίαι εἰς ὀκτὼ ἤχους διῃρημέναι διαπρέπουσιν ἐπὶ ὕψει ποιήσεως καὶ πλούτῳ θείων νοημάτων· ἐξαίρετα κατ' ἐξοχὴν εἰσὶ τὰ Ἀντίφωνα ἔπειτα δὲ τὰ Δογματικὰ Θεοτόκια. Ἅπαντες οἱ ὑπ' αὐτοῦ γραφέντες κανόνες εἰσὶ τὸν ἀριθμὸν ξδ', ἀλλ' ἔνιοι αὐτῶν οὐκ εἰσὶν ἀπὸ πολλοῦ ἐν τῇ ἐκκλησιαστικῇ χρήσει (³). «Ἁγίων τὰ τάγματα, λέγει ὁ ποιητὴς τοῦ εἰς

ἀνήκοντι εἰς τὸν Νόρωφ καὶ ἐν χειρογρ. τῆς ἐν Μόσχᾳ συνοδ. Βιβλ. Mathaei (Notit. cod. 63. 101. 270). ὑπὸ τοῦ Lequien ἐξεδόθ. ιγ' λόγ. καὶ ὁμιλ., μεταξὺ τῶν ἄλλων εἰς τὸν ἅγιον Χρυσόστομον καὶ εἰς τὴν ἁγ. Μ. Βαρβάραν.

(¹) Τ. Ά. 506-508. Τὸ σύγγραμμα περὶ ἀρετῶν καὶ κακιῶν (Τ. Ά. σελ. 509-514) οὐκ ἔστι πολλοῦ ἄξιον.

(²) Οὐ μόνον ὁ ὑπὸ τοῦ Lequien ἐκδοθεὶς πασχάλιος Κανὼν ἐστι πόνημα τοῦ ἁγίου Δαμασκηνοῦ, ἀλλὰ καὶ ἅπασα ἡ πασχάλιος Ἀκολουθία, διότι α') τὰ τροπάρια τῶν πασχαλ. Ὡρῶν συνετέθησαν ὑπὸ αὐτοῦ· β') τὸ αὐτὸ ῥητέον καὶ περὶ τοῦ Ὄρθρου τοῦ Πάσχα καὶ τῆς Ἀκολουθίας ἁπάσης τῆς Διακαινησίμου. Ἐν τοῖς ἀρχ. χειρογ. (Βλ. Fabric. Bib. Gr. ed. Harless, T. IX. p. 742) τὰ τροπάρια τῆς Ἀκολουθίας ἀποδίδονται τῷ Δαμασκηνῷ.

(³) Ὁ Lequien ἐξέδωκεν 9 μόνον κανόνας.

αὐτὸν κανόνος, ὑμνολογήσας, ὅσιε, τὴν ἁγνὴν Θεοτόκον, Χριστοῦ τὸν Πρόδρομον, αὖθις Ἀποστόλους, Προφήτας, σὺν Ἀσκηταῖς σοφοὺς διδασκάλους, Δικαίους καὶ Μάρτυρας, ἐν τούτων νῦν αὐλίζῃ σκηναῖς» (ᾠδ. θ΄. Τροπ. ϛ΄.). Διὰ ταῦτα τὰ πονήματα ἐπωνομάσθη Χρυσορρόας, καὶ ἡ ἐπωνυμία αὕτη πρέπει αὐτῷ κατὰ πάντα. Ὁ ἅγιος Θεοφάνης γράφει: «Ἰωάννης, ὁ καλῶς ἐπικληθεὶς Χρυσορρόας διὰ τὴν ἐπανθοῦσαν αὐτῷ τοῦ Πνεύματος ἔν τε λόγῳ καὶ βίῳ χρυσαυγῆ χάριν» (1). Ἡ Ὀκτώηχος καὶ ἔνιοι τῶν Κανόνων εἰσήχθησαν, ζῶντος ἔτι τοῦ θείου Διδασκάλου, οὐ μόνον εἰς τὰς ἑλληνικὰς Ἐκκλησίας, ἀλλὰ καὶ εἰς τὰς συριακάς, παρὰ τοῖς Ἰακωβίταις καὶ τοῖς Νεστοριανοῖς (2). Κάρολος ὁ Μέγας, δεξάμενος τὴν Ὀκτώηχον, ἐκέλευσε μεταφρασθῆναι αὐτὴν πρὸς ψαλμῳδίαν ἰδίᾳ τῶν ἀντιφώνων (3). Διὰ τοῦ πονήματος τούτου μεγάλην ἐπήνεγκεν ὁ Πατὴρ ἐν τῇ διατάξει τῆς ἐκκλησιαστικῆς Ἀκολουθίας μεταβολήν. Ἐκ τούτου ἀναθεώρησε καὶ τὸ ἱεροσολυμιτικὸν Τυπικόν (4) καὶ τὸ Μηνολόγιον (5).

Ὡς ἱστορικὸς ὁ ἅγιος Πατὴρ συνέταξε, πλὴν τοῦ περὶ αἱρέσεων συγγράμματος, μακρὰν διήγησιν περὶ τοῦ μεγάλου

(1) Χρονογρ. ἔτ. ιθ΄ Λ. Ἰσαύρου.

(2) Assem. Bibl. Or. T. I. p. 166. 487. Bar Hebraeus, de Ethicis P. I. c. 5. sect. 4.

(3) Herbert. de cantu sacro,. T. I. p. 268. 269. T. II. p. 71.

(4) Συμεὼν ὁ Θεσσαλονίκης λέγει: «Καὶ ἡ τοιαύτη δὲ διάταξις ἀναγκαιοτάτη καὶ πατρική. Καὶ γὰρ ὁ θεῖος Πατὴρ ἡμῶν Σάββας ταύτην διετυπώσατο, παραλαβὼν αὐτὴν ἀπὸ τοῦ ἐν ἁγίοις Εὐθυμίου καὶ Θεοκτίστου. Οὗτοι δέ γε ἀπὸ τῶν πρὸ αὐτῶν καὶ τοῦ Ὁμολογητοῦ Χαρίτωνος παρειλήφασι. Τὴν δὲ ἱεροῦ Σάββα διατύπωσιν, ὡς ἐμάθομεν, καταφθαρέντος τοῦ τόπου, ὑπὸ βαρβάρων ἀφανισθεῖσαν, ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Σωφρόνιος, ὁ τῆς ἁγίας πόλεως Πατριάρχης, φιλοπονήσας ἐξέθετο. Καὶ μετ᾽ αὐτὸν πάλιν ὁ θεῖος ἡμῶν καὶ θεολογικὸς Πατήρ, ὁ Δαμασκηνὸς Ἰωάννης, ἀνενεώσατο, καὶ γράψας παρέδωκε» (κατὰ πασ. τῶν αἱρέσ.). Νεκτάριος, ὁ Π. Ἱεροσολύμων (τῷ 1660), σημειοῖ ὀρθῶς, ὅτι ὁ ἅγιος Δαμασκηνὸς ἐπεξεργαζόμενος τὸ Τυπικὸν τοῦ ἁγ. Σάββα, εἰσήγαγεν εἰς αὐτὸ τὰς περὶ τῶν ὑπ᾽ αὐτοῦ τε καὶ τοῦ ἁγ. Κοσμᾶ ποιηθέντων κανόνων καὶ ἰδιομέλων διατάξεις (Ἱεροσολ. Ἱστορ. σελ. 175. Ἐνετίῃσι, 1677).

(5) Γνωστὸν ἐκ τῶν ἑλλην. χειρογρ. Βλ. Prolegom. ad op. S. Damascani p. 44.

Ἀρτεμίου, ἧς ἡ ἀρχή: « Τὰ τοῦ μεγάλου καὶ ἐνδόξου Μάρτυρος Ἀρτεμίου διηγεῖσθαι μέλλων ἀνδραγαθήματα . . . » Ἡ ἐπιστολὴ πρὸς Ἰορδάνην περὶ τῆς τοῦ Πάσχα νηστείας πραγματεύεται περὶ τοῦ πῶς ἦγε τὴν νηστείαν ταύτην ἡ Ἐκκλησία τῶν Ἱεροσολύμων ([1]).

§. 263. Κοσμᾶς ἐπίσκοπος Μαϊουμᾶ.

Κοσμᾶς, ἐπίσκοπος Μαϊουμᾶ, ἢ Κωνσταντίας τῆς ἐν Παλαιστίνῃ, παρὰ τὴν Γάζαν, ἦν συμμαθητὴς καὶ φίλος τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. Καταλειφθεὶς ὀρφανός, υἱοθετήθη (τῷ 676) ὑπὸ τοῦ πλούτῳ πολλῷ καὶ κοσμικῇ δόξῃ κομῶντος πατρὸς τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ Σεργίου, ὃς παρέδωκεν αὐτόν τε καὶ τὸν ἑαυτοῦ υἱὸν τῷ αἰχμαλώτῳ μοναχῷ Κοσμᾷ, ἵνα διδάξῃ αὐτοὺς πᾶσαν σοφίαν θείαν τε καὶ ἀνθρωπίνην. Ὁ Κοσμᾶς, ἐφ᾽ ὅσον ὁ φίλος καὶ κατὰ πνεῦμα ἀδελφὸς αὐτοῦ ἦν ἐν τῇ αὐλῇ τοῦ Καλίφου, διέτριβεν ἐν Δαμασκῷ· ἔπειτα δὲ (τῷ 732) ἀπεχώρησε μετὰ τοῦ Δαμασκηνοῦ εἰς τὴν Λαύραν τοῦ ἁγίου Σάββα, ἔνθα διήθλει τοὺς ἱεροὺς τῆς ἀσκήσεως ἀγῶνας καὶ ὁ διδάσκαλος αὐτῶν γέρων Κοσμᾶς. Πρὸ τούτου ἔτι ὁ Κοσμᾶς ἔπεισε τὸν ἑαυτοῦ φίλον ὑπερμαχῆσαι τῆς ἐν τῇ Αὐτοκρατορίᾳ καταπολεμουμένης ὑπὸ Λέοντος τοῦ Ἰσαύρου ὀρθοδοξίας. Ἐν τῇ ἐρήμῳ ὑπήλειφεν ὁ Κοσμᾶς τὸν Δαμασκηνὸν πρὸς τοὺς σοφοὺς πόνους, καί, ὡς λέγει ὁ Ἱεροσολύμων Ἰωάννης, ἐκοινώνει αὐτῷ καὶ λόγων, καὶ ἀναγωγῆς, καὶ ἀσκήσεως, « ὕπῆσε λιγυρὰς τῇ Ἐκκλησίᾳ ἁρμονίας ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, τὸ οἰκεῖον σῶμα τύμπανον παραστησάμενος τῷ Θεῷ διὰ τὴν τῶν παθῶν

([1]) Ἡ Διήγησις περὶ τοῦ μεγάλου Ἀρτεμίου ἐξεδόθη ὑπὸ τοῦ Μαΐου ἑλληνιστὶ μόνον in Spicil. Rom. T. IV. p. 240-297. Ὡς πρὸς τὴν ἰουδαϊκὴν ἱστορίαν περὶ Βαρλαὰμ τοῦ ἐρημίτου, καὶ Ἰωσάφατ, ἢ Ἰωσάφου, βασιλέως τῶν Ἰνδιῶν (ap. Lipomanum in Vit. Sanctor. T. V), ῥητέον, ὅτι εἰς μάτην ἀποδιδοῦσιν αὐτὴν τῷ ἁγ. Δαμασκηνῷ. Αὕτη ἐγράφη, ὡς λέγεται ἐν ἐνίοις ἑλλην. καὶ σλαβ. χειρογρ., ὑπό τινος μοναχοῦ, ἀρχιμανδρίτου τοῦ ἁγ. Σάββα. Ὁ εἰς τὸ Γενέθλιον τοῦ Κυρίου λόγος ἱστορικὸς ἐγράφη οὐχ ὑπὸ τοῦ ἁγ. Δαμασκηνοῦ, ἀλλ᾽ ὑπὸ Ἰωάννου τοῦ Εὐβοίας, οὐ διασήμου συγγραφέως τοῦ η´ αἰῶνος.

νέκρωσιν, καὶ ψαλτήριον ἄλλο δεκάχορδον καταστήσας, ὅλον ἑαυτόν, τὴν πενταπλῆν τοῦ σώματος αἴσθησιν καὶ τὰς ἰσαρίθμους δυνάμεις τῆς ψυχῆς ἐντέχνως καὶ σοφῶς ἐνστησάμενος» (1). Περὶ τὸ 743 ἐχειροτονήθη ἄκων ἐπίσκοπος Μαϊουμᾶ (*)· ὁ θεῖος Δαμασκηνὸς ἔγραψε, κατὰ παράκλησιν αὐτοῦ, τὴν Πηγὴν γνώσεως, ἧς προὔταξεν ἐπιστολὴν πρὸς αὐτόν. Ὁ ἅγιος Κοσμᾶς, ὁδηγήσας ἐπὶ νομὰς σωτηρίους τὸ ἑαυτοῦ ποίμνιον καὶ εἰς βαθὺ ἐλάσας γῆρας, ἐξεδήμησε πρὸς Κύριον (2).

Ἰωάννης ὁ Ἱεροσολύμων, τὰ ἀρχαῖα ἑλληνικὰ Μηναῖα, τὸ Μηνολόγιον τοῦ Βασιλείου, καὶ Νικηφόρος ὁ Κάλλιστος λέγουσιν, ὅτι Κοσμᾶς, ὁ τοῦ Δαμασκηνοῦ συμμαθητὴς ἔγραψε κανόνας καὶ τροπάρια. Ὁ Κεδρηνὸς (3) ὀνομάζει αὐτὸν μελῳδόν (4).

Κατὰ τοὺς λόγους τοῦ Βαρ-Εβραίου, οἱ ὕμνοι τοῦ ἁγίου Κοσμᾶ μετὰ τῶν τοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ εἰσήχθησαν ἐν τῇ διατάξει τῆς Ἐκκλησιαστικῆς Ἀκολουθίας καὶ εἰς τὰς Ἐκκλησίας τῆς Χαλδαίας καὶ τῆς Μεσοποταμίας (5). «Συνήκμαζε δὲ αὐτῷ (τῷ Δαμασκηνῷ), λέγει ὁ Σουΐδας, καὶ Κοσμᾶς ἐξ Ἱεροσολύμων, ἀνὴρ εὐφυέ-

(1) Ἡ σημείωσις τοῦ Πατριάρχου περί τε τοῦ χρόνου καὶ τοῦ τόπου τῆς ὑπὸ τοῦ ἁγίου Κοσμᾶ ποιήσεως τῶν ὕμνων βεβαιοῦται ὑπὸ τοῦ ὅτι ἐν τῇ ἀρχαίᾳ αὐτῶν ἐκδόσει (Aldi Manucii Hymni sacri, Venetiis, 1501), ὡς καὶ ἐν τοῖς ἀρχαίοις χειρογρ., καλοῦνται ὕμνοι Κοσμᾶ τοῦ Ἱεροσολυμίτου.

(*) Τῷ 703 ἐφονεύθη ὑπὸ τῶν Ἀράβων Πέτρος ὁ Μαϊουμᾶ ἐπίσκοπος, ὡς γράφει ὁ Θεοφάνης.

(2) Περὶ τοῦ βίου τοῦ ἁγ. Κοσμᾶ βλ. Β. τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ συγγραφ. παρὰ Ἰωάννου Π. Ἱεροσολύμων, τὸ Μηνολόγ. τοῦ Βασιλ., τὸ Μην. ap. Bolland. ad 14 Octobr. p. 594-610. Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ιδ΄ Ὀκτωβρ. Ἐκ τῶν χειρογρ. γνωστὸς ἔτι ὁ βίος αὐτοῦ, γραφεὶς μετὰ Ἰωάννην τὸν Π. Ἱεροσολύμων (Fabric. B. gr. IX. 744).

(3) Ἱστορ. σελ. 456.

(4) Ἔνιοι τῶν μεταγενεστέρων λέγουσιν, ὅτι ὁ διδάσκαλος Κοσμᾶς ἦν ὁ ποιητὴς τῶν κανόνων, οἳ φέρουσι τὸ ὄνομα Κοσμᾶ τοῦ Ἱεροσολυμίτου, ἢ Κοσμᾶ τοῦ μοναχοῦ. Βεβαίως Κοσμᾶς ὁ πρεσβύτερος ἠδύνατο γράψαι ὕμνους καὶ ὁμιλίας, ἀλλ᾽ ἄγνωστον, εἰ ἔγραψέ τι. Ῥητέον δέ, ὅτι, καθ᾽ ἅπαντα τὰ μνημεῖα τῆς ἀρχαιότητος, οἱ κανόνες ἀνήκουσιν εἰς Κοσμᾶν τὸν νεώτερον, τὸν ποιμένα Μαϊουμᾶ.

(5) De Ethicis P. I. c. 5. sect. 4.

στατος καὶ πνέων μουσικὴν ὅλως τὴν ἐναρμόνιον. Οἱ γοῦν ᾀσματικοὶ κανόνες Ἰωάννου τε καὶ Κοσμᾶ σύγκρισιν οὐκ ἐδέξαντο, οὐδὲ δέξαιντο μέχρις ἂν ὁ καθ᾽ ἡμᾶς βίος περαιωθήσεται». Ἡ ἀπόφανσις αὕτη ἦν ἀπόφανσις ἁπάντων ἐν τῇ ἑλληνικῇ Ἐκκλησίᾳ περὶ τοῦ Κοσμᾶ ([1]).

Πλήρης κανόνες μετὰ τῶν στιχηρῶν ταῦ ἁγίου Κοσμᾶ ὑπάρχουσιν ἄχρι τοῦ νῦν γνωστοὶ δώδεκα ([2]). Ἐν αὐτοῖς διαπρέπουσιν ἐπὶ

([1]) Βλ. ἑλλην. Ἀκολουθ. ap. Bolland. ad 14 Octobr. p. 668. Boissonade Anecd. gr. Vol. II p. 460. Paris. 1830.

([2]) Ἐν χειρογρ. τῆς σλαβ. Ἀκολουθίας εἰς τὸν ἅγιον Κοσμᾶν ὑπάρχει τὸ τροπάριον: « Οἱ λόγοι σου ὡς κηρίον γλυκὺ ταῖς εὐσεβέσι καρδίαις, ταῖς ᾀδούσαις τὴν Βάπτισιν τοῦ Κυρίου, τὴν Ὑπαπαντὴν . . . παρέστησας μακάριε τὴν ἀνάστασιν τοῦ Λαζάρου, τὸν αἶνον τῶν παίδων καὶ τὸν φθόνον τῶν Ἰουδαίων. Ὡς ὑψηλὸν τὸν νοῦν, Κοσμᾶ, περιέγραψας τὸν Δεῖπνον, ἐν ᾧ ὁ Κύριος παρέδωκε τὰ ζωηφόρα μυστήρια, καὶ τὴν φοβερὰν ἀσεβῆ προδοσίαν τοῦ Ἰούδα . . . . Τὰ πανάχραντα περιέγραψας Πάθη, τὴν Ταφὴν καὶ τὴν Ἔγερσιν, τὴν Μεταμόρφωσιν τοῦ Χριστοῦ ». Τέλος ἐν δυσὶν ἔτι τροπαρίοις ὁ Κοσμᾶς καλεῖται ἀοιδὸς τῆς Ἐνσαρκώσεως τοῦ Θεοῦ καὶ τῆς Ὑψώσεως τοῦ Σταυροῦ τοῦ Χριστοῦ (Περγαμ. σλαβ. Μην. εἰς τὸν Ὀκτώβρ. ἐν τῇ Λαύρᾳ τοῦ ἁγ. Σεργ.). Ἡ ἀκροστιχὶς τοῦ κανόνος εἰς τὸν ἅγ. Κοσμᾶν: Κοσμᾶν αἰνέσω τὸν ποιητὴν ὁμοίως, δείκνυσιν, ὅτι ὁ κανὼν ἐγράφη ὑπὸ τοῦ γράψαντος καὶ τὸν προηγούμενον, οὗτος δ᾽ ὁ τελευταῖος-ὁ κανὼν εἰς τὸν ἅγ. Λουκιανόν,- ἐγράφη ὑπὸ Θεοφάνους τοῦ Γραπτοῦ. Ἑλληνιστὶ ὑπάρχουσιν οἱ δύο οὗτοι κανόνες μετὰ τοῦ κανόνος τοῦ Κοσμᾶ εἰς τὴν Κυριακὴν τῶν Βαΐων ἐν παρισ. χειρογρ. (cod. 1272). Περὶ τοῦ κανόνος τοῦ Κοσμᾶ εἰς τὴν Κοίμησιν τῆς Θεομήτορος λέγεται ἐν ἑτέρᾳ ἑλλ. Ἀκολουθίᾳ, ὅτι ἀνήκει εἰς τὸν ἅγ. Κοσμᾶν. Act. Sanctor. ad 14 Octobr. p. 608. Πέντε ἑορτάσ. καν., πέντε τριώδια καὶ δύο τετραῴδια τοῦ Κοσμᾶ ἐξεδόθησαν τῷ 1501 ὑπὸ Ἄλδου Μανουκίου, καὶ μετὰ τῶν στιχηρῶν ὑπὸ Γαλλανδίου ἐν τῷ ΙΓ΄. τόμῳ τῆς Βιβλ. τῶν Πατέρ. ὁ τελευταῖος ἐκδότης ἀμφιβάλλει, εἰ τὰ τετραῴδια καὶ τὰ στιχηρὰ, τὰ ὑπ᾽ αὐτοῦ ἐκδοθέντα ἐκ τοῦ Τριῳδίου καὶ τῆς Ἀνθολογίας, ἀνήκουσιν εἰς τὸν ἅγ. Κοσμᾶν. Ματαία ἀμφιβολία! ὁ ὅσιος Θεοφάνης ἐθεώρει αὐτὰ ὕμνους τοῦ ἁγ. Κοσμᾶ. Πλὴν τούτων ὑπάρχουσιν ἐν τοῖς Μηναίοις κανόνες αὐτοῦ α) εἰς Ἰωσὴφ τὸν Μνήστορα Δαυΐδ, τὸν βασιλέα καὶ Ἰάκωβον τὸν Ἀδελφόθεον (κς΄.

μεγαλοπρεπεία καὶ ἱερῷ ἐνθουσιασμῷ οἱ εἰς τὴν Κυριακὴν τῶν Βαΐων, εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου, καὶ εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ· ὁ κανὼν εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ ἐστι κατὰ τοῦτο ἀξιοσημείωτος, ὅτι ἐν τῇ συντάξει αὐτοῦ παρέλαβε πολλὰ ὁ θεῖος Πατὴρ ἐκ τοῦ εἰς τὴν αὐτὴν ἑορτὴν λόγου τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου. Εἰς τὸν μέγαν τοῦτον τῆς Ἐκκλησίας Διδάσκαλον ἔγραψε καὶ ἴδιον κανόνα (κε΄ Ἰανουαρίου).

Πλὴν τῶν κανόνων, οἵτινές εἰσι πλήρεις, ὁ ἅγιος Κοσμᾶς ἔγραψε τριῴδια εἰς τὴν Μεγάλην Δευτέραν, εἰς τὴν Μεγάλην Τρίτην, εἰς τὴν Μεγάλην Τετάρτην, εἰς τὴν Μεγάλην Πέμπτην καὶ εἰς τὴν Μεγάλην Παρασκευήν, καὶ τετραῴδια εἰς τὸ Σάββατον τῶν Βαΐων καὶ εἰς τὸ Μέγα Σάββατον.

Ἐν τῷ ἀρχαίῳ Κοντακαρίῳ ἀναγινώσκονται ἔτι οἶκος καὶ 14 κοντάκια εἰς τὴν κοίμησιν τῆς Θεοτόκου, ὧν ἡ ἀκροστιχίς: Τοῦ Ταπεινοῦ Κοσμᾶ [1].

Τέλος ὁ ἅγιος Κοσμᾶς μετέσχε τοῦ σχηματισμοῦ τῆς Ὀκτωήχου τοῦ φίλου αὐτοῦ, ὅτε ὁ κανὼν μετὰ τῶν εἱρμῶν ὡρίσθη ὡς βάσις τοῦ νέου εἴδους τῶν ὕμνων [2]. Γνωστοὶ οἱ ψαλμοὶ τοῦ Δαυΐδ, οὓς ὁ ἅγ. Κοσμᾶς ἐνέτεινεν εἰς στίχους ἐν ἰαμβικῷ μέτρῳ [3]. Ἔγραψεν ἔτι ἐπιστολὴν Γρηγορίῳ Ἀββᾷ [4] καὶ σχόλια εἰς τὸν ἅγιον Γρηγόριον τὸν Ναζιανζηνόν [5].

Δεκεμβρ.)· β) εἰς τὸν Μεγαλομ. Γεώργιον (κγ΄ Ἀπριλ.)· γ) εἰς Γρηγόριον τὸν Θεολόγον (Ἰαν. κε΄.). Ἐν χειρογρ. τῆς βιεν. Βιβλ. ὑπάρχει κατανυκτικὸς κανὼν εἰς τὸν Χριστὸν Κύριον — ποίημα Κοσμᾶ, οὗ ἡ ἀρχή: «πένθος μοι δώρησαι, Λόγε, καθαρτικόν...». Ὁ κανὼν οὗτος οὐχ ὑπάρχει ἐν ταῖς ἐκδεδομ. Ἀκολουθ. Ἐν τῇ νῦν Ἀκολουθίᾳ οὐχ ὑπάρχει καὶ ὁ κανὼν εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου περὶ οὗ ποιεῖται λόγον ὁ ἅγ. Θεοφάνης.

(1) Βλ. τὸ ἐν τῇ συνόδ. τῆς Μόσχας Βιβλ. Κοντακάριον χειρόγρ. Νο 437. al. 21. τοῦ ιβ΄. αἰῶνος.

(2) Ἐκ τούτου καλεῖ ὁ Κεδρηνὸς τοὺς ἁγίους Δαμασκηνὸν καὶ Κοσμᾶν μελῳδούς. Ἐν τῇ Βιβλ. τοῦ Ὀξφορδίου (Boblei Cod. 110) σώζεται Ὀκτώηχος Κοσμᾶ καὶ Δαμασκηνοῦ μεθ' ἑρμηνείας Θεοδώρου τοῦ Προδρόμου.

(3) Lambec. Comment. Vind. III. 103. IV. 216.

(4) Bodleian. Cod. 297. 299.

(5) Ἐξεδόθ. ὑπὸ Migne, Patrol. T. XXXVIII. col. 339-679.

§. 264. Ταράσιος ὁ Πατριάρχης.

Ταράσιος, ὁ ἐν ἁγίοις Πατριάρχης Κωνσταντινουπόλεως (τῷ 785), ἦν τὸ γένος ἐπιφανής, ἐξ ἀπορρήτων τοῦ Αὐτοκράτορος, καὶ πατρόθειος τοῦ ἱερωτάτου Φωτίου. Ὁ θεῖος ἀνὴρ τότε μόνον ἔγνω ἀναδέξασθαι τὸ τοῦ Πατριάρχου ἀξίωμα, ὅτε ἐδόθη αὐτῷ ὑπὸ τοῦ Αὐτοκράτορος Κωνσταντίνου καὶ τῆς μητρὸς αὐτοῦ Εἰρήνης ὑπόσχεσις περὶ συγκροτήσεως Συνόδου πρὸς καταστολὴν τοῦ ὑπὸ τῆς εἰκονομαχίας ἐξεγερθέντος σάλου. Ἡ Σύνοδος συνεκροτήθη ἐν Νικαίᾳ καὶ ἡ τῶν ἁγίων Εἰκόνων προσκύνησις κανόσιν ἐξησφαλίσθη. Ὁ ἅγιος Ταράσιος ἀνεπαύσατο ἐν Κυρίῳ τῷ 806ῳ σωτηρίῳ ἔτει (1).

Κατὰ τὴν μαρτυρίαν τοῦ Συγγέλλου αὐτοῦ, ὁ Ταράσιος ἦν πεπαιδευμένος καὶ φίλος τῆς παιδείας. Ἐν τοῖς πρακτικοῖς τῆς Οἰκουμ. Συνόδου κατεχωρίσθησαν αὐτοῦ: α) Ὁ Ἀπολογητικὸς πρὸς τὸν λαὸν σχεδιασθεὶς ἐν τῇ ἡμέρᾳ, ᾗ ἐδήλωσαν οἱ βασιλεύοντες τοῖς λαοῖς τοῦ γενέσθαι Πατριάρχην (2)· β) ἡ ἐπιστολὴ τοῖς εὐσεβεστάτοις καὶ γαληνοτάτοις βασιλεῦσι Κωνσταντίνῳ καὶ Εἰρήνῃ τῇ μητρὶ αὐτοῦ (3)· γ) ἡ ἐγκύκλιος ἐπιστολὴ τοῖς Πατριάρχαις τῆς Ἀνατολῆς (4)· δ) ἡ ἐπιστολὴ Ἰωάννῃ πρεσβυτέρῳ καὶ ἡγουμένῳ (5)· ε) αἱ δύο ἐπιστολαὶ τῷ Πάπᾳ Ἀδριανῷ (6), ὧν ἡ δευτέρα κατὰ Σιμωνίας εἰσήχθη εἰς τὸ Σύνταγμα τῶν Ἐκκλησιαστικῶν Κανόνων (7). Ἐν τῇ πρώτῃ αὐτῶν εἰπὼν περὶ τῶν πρὸς συγκρότησιν τῆς Συνόδου κωλυμάτων, ἐπάγει τάδε: «Καὶ δὴ ἡμεῖς συνεκδήμους ἡμῖν λαβόντες τούς τε θεοφιλεῖς ἄνδρας καὶ τοποτηρητὰς ὑμῶν, ὡσαύτως καὶ τοὺς ἐκ τῆς Ἀνατολῆς ἐληλυθότας, ἀφικόμεθα ἐν τῇ αὐτῇ Μητροπόλει. Καί, προκαθεσθέντων ἁπάντων ἡμῶν, κεφαλὴν ἐποιησάμεθα Χριστόν. Ἔκειτο γὰρ ἐν ἁγίῳ θρόνῳ τὸ ἅγιον Εὐαγγέλιον ἐπιφωνοῦν πᾶσιν ἡμῖν τοῖς συνελ-

(1) Ὁ βίος αὐτοῦ περιεγράφη ὑπὸ τοῦ Νικαίας Μητροπολίτου Ἰγνατίου. Ἡ λατινικὴ αὐτοῦ μετάφρ. ap. Bolland. die 25 Februar.

(2) Ἐν τῇ Α΄ Πρ. ap. Hardain IV. 23. Mansi XII. 385.

(3) Ἐν τῇ Ζ΄. Πρ. Hard. p. 471. Mansi loc. cit. p. 399.

(4) Ἐν τῇ Γ΄ Πρ. Hard. p. 136. Mansi, 1119.

(5) Ἐν τῇ Η΄ Πρ. p. 520. Mansi XIII. p. 461.

(6) Ἐν τῇ Η΄ Πρ. Hard. p. 508. 518.

(7) Beveregii Pandecta T. II.

θοῦσιν ἱερουργοῖς ἀνδράσι. Κρῖμα δίκαιον κρίνατε· δικάσατε τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ καὶ τῇ γενομένῃ καινοτομίᾳ. Καὶ προκριθέντων ἀναγνωσθῆναι τῶν τῆς ὑμετέρας ἁγιότητος γραμμάτων, ἦμεν ἐν κοινῇ χορείᾳ ἅπαντες, τοῖς πνευματικοῖς ἐδέσμασιν ὡς καὶ βασιλικοῖς δείπνοις ἐντρυφῶντες, ἅπερ ὁ Χριστὸς διὰ τῶν σῶν γραμμάτων εὐωχουμένοις εὐτρέπιζε, καὶ ὡς ὀφθαλμὸς τὸ ὅλον σῶμα πρὸς τὴν τῆς εὐθείας καὶ ἀληθείας τρίβον ὑπεδείκνυε. . . . Καὶ οὐδαμῶς εἴασε Χριστὸς ὁ Θεὸς ἡμῶν, ἡ πέτρα, ἐν ᾗ ἐστηριγμένοι ἐσμέν, τὸν ἄνωθεν ὑφαντὸν διόλου χιτῶνα, ἤτουν τὴν παρ᾽ Αὐτοῦ καὶ ἐπ᾽ Αὐτὸν οἰκοδομηθεῖσαν Ἐκκλησίαν Αὐτοῦ διεσχισμένην καὶ διερρηγμένην, καὶ τὰ μέλη ἄλλοτε ἄλλως κινούμενα». Οὕτω πρᾴως καὶ σύναμα πρεπόντως διδάσκει τὴν ἀμνήμονα ματαιότητα τοῦ Πάπα ὁ μακαριώτατος Πατριάρχης (¹).

§. 265. Θεοφάνης ὁ τῆς Σιγριανῆς Ἀββᾶς.

Θεοφάνης ὁ ἀείμνηστος, υἱὸς Ἰσαακίου ἐπάρχου τῶν Αἰγεοπελαγιτῶν, ὁμολογητὴς τῆς Ὀρθοδοξίας ἐγεννήθη (τῷ 758) ἐν Κωνσταντινουπόλει (²). Μετὰ τὸν θάνατον τοῦ πατρὸς ἐγένετο ὁ Αὐτοκράτωρ Κοπρώνυμος κηδεμὼν αὐτοῦ τριετοῦς τυγχάνοντος. Λέων ὁ Χάζαρος, ὁ τοῦ Κοπρωνύμου υἱὸς καὶ διάδοχος, ἠνάγκασεν αὐτὸν συζευχθῆναι τῇ θυγατρὶ τοῦ Πατρικίου Λέοντος· ἀλλ᾽ ὁ θεοφιλὴς νεανίας κατὰ τὴν πρώτην ἡμέραν τοῦ γάμου ἔγνω ἀπὸ κοινοῦ μετὰ τῆς νεαρᾶς αὐτοῦ συζύγου διαβιῶσαι ἐν σωφροσύνῃ. Ὁ Αὐτοκράτωρ, οὐκ ὢν ἐραστὴς τῆς παρθενίας, ἵν᾽ ἀποτρέψῃ αὐτὸν τῆς προθέσεως τοῦ ἀποχωρῆσαι εἰς τὴν ἔρημον, ἀπέστειλεν εἰς Κύζικον, μάλα λαμπρὰν ἐγχειρίσας πραγμάτων διοίκησιν, ἔπειτα δὲ κατέταξεν αὐ-

(¹) Ἐκ τῶν χειρογ. γνωσταὶ α) ἡ ὁμιλία εἰς τὰ Εἰσόδια τῆς ὑπεραγίας Θεοτόκου β) ἡ ἐπιστολὴ ἀδελφοῖς καὶ συλλειτουργοῖς πᾶσι τοῖς ὁσιωτάτοις ἐπισκόποις τῆς φιλοχρίστου Σικελῶν [Ἀμφότερα ταῦτα τὰ πονήματα τοῦ ἁγίου Ταρασίου ἐξεδόθ. ὑπὸ Migne Patrol. T. 98. col. 1477—1500. Σ. Μ.]· γ) ἡ ἐπιστολὴ τοῖς ἐπισκόποις — περὶ τοῦ Ἁγ. Πνεύματος (Bandini Catal. T. III. p. 324. cod. VIII. plat. 86.).

(²) Ὁ βίος τοῦ ἁγ. Θεοφάνους περιεγράφη ὑπὸ συγχρόνου αὐτῷ καὶ ὑπὸ τοῦ Μεταφραστοῦ.

τὸν ἐν τῇ φρουρᾷ αὐτοῦ. Τελευτήσαντος δὲ τοῦ Λέοντος, τὴν μὲν τιμίαν αὐτοῦ σύζυγον, πολλὰ αὐτῇ δοὺς χρήματα, ἀπέκειρεν ἐν τῇ τοῦ Πρίγκιπος Μονῇ. αὐτὸς δὲ ἑαυτὸν τῷ Κυρίῳ προσενεγκών, τὸν μοναχικὸν ἠσπάσατο βίον ἐν τῇ κατὰ τὸ τῶν Σιγριανῶν ὄρος κειμένῃ μονῇ παρὰ τὴν θάλασσαν τοῦ Μαρμαρᾶ Πολυχρονίᾳ λεγομένῃ ἔνθα ἐν μεμονωμένῃ κέλλῃ μετὰ τὴν προσευχὴν ἠσχολεῖτο περὶ τὴν ἀνάγνωσιν καὶ τὴν ἀντιγραφὴν βιβλίων. Ἔπειτα δὲ καθίδρυσε ἰδίᾳ δαπάνῃ δύο μονάς, ὧν τῆς μιᾶς ἐγένετο ἡγούμενος(*). Ἐν τῇ Ζ΄ Οἰκ. Συνόδῳ ὁ ἅγιος Θεοφάνης ἦν εἷς τῶν θ·ρμοτάτων ὑπερασπιστῶν τῆς Ὀρθοδοξίας. Ἐπὶ τοῦ Αὐτοκράτορος Λέοντος τοῦ Ἀρμενίου ὁ ἅγιος Πατριάρχης ὁ Νικηφόρος, ἀπαγόμενος εἰς Προικόνησον ὑπερόριος εὐλόγησε τὸν Ὁμολογητὴν Θεοφάνην ἐκ τοῦ πλοίου μηθ᾽ ὁρῶν μηθ᾽ ὁρώμενος, οὗτος δέ, τῷ πνεύματι τὴν ἐκείνου δίοδον ἐγνωκώς, κηροὺς ἀνάψας καὶ θυμιῶν, ἐδεξιοῦτο αὐτὸν (1). Ὁ εἰκονομάχος Αὐτοκράτωρ ἐσπούδασεν ἐκ παντὸς τρόπου καταστῆσαι τὸν θεῖον ἄνδρα ὁμόφρονα αὐτῷ· οὗτος δ᾽ ἀπεκρίνατο δι᾽ ἐπιστολῆς, ὅτι οὐδοπωστιοῦν δύναται ἀποδέξασθαι τὰς ἀσεβεῖς αὐτοῦ δοξασίας, ἐφ᾽ ᾧ δεσμοῖς περιβαλόντες τὸν ἅγιον γέροντα, ἀκίνητον ὄντα ἕνεκα τῆς ἀσθενείας, ἥτις ἀπὸ πολλοῦ ἐβασάνιζεν αὐτόν, ἀπέστειλαν εἰς τὴν πρωτεύουσαν, τὴν δὲ μονὴν αὐτοῦ ἐνέπρησαν. Οὐ δυνηθέντες νικῆσαι τὴν πίστιν αὐτοῦ λόγοις, ἠβουλήθησαν νικῆσαι αὐτὸν ταῖς θλίψεσι τοῦ δεσμωτηρίου, ἐν ᾧ ἐπὶ δύο ἔτη καθείρχθη, ἔπειτα δ᾽ ἐξώρισαν εἰς Σαμοθράκην, ἔνθα (τῷ 818) μετὰ παρέλευσιν οὐ πολλοῦ χρόνου ἀνεπαύσατο ἐν Κυρίῳ ὁ ἅγιος Ὁμολογητής (2).

Ὁ ἅγιος Θεοφάνης συνέταξε Χρονογραφίαν (3), ἱστορικὴν τῶν ἐν τῇ ρωμαϊκῇ Αὐτοκρατορίᾳ πολιτικῶν καὶ ἐκκλησιαστικῶν συμβεβηκότων (ἀπὸ τοῦ 285-813), ἀριθμῶν τὰ ἔτη ἀπὸ κτίσεως

(*) Ἡ Μονὴ αὕτη, ἐν τῇ Προποντίδι κειμένῃ, ἐκαλεῖτο Μέγας Ἀγρός, καὶ ἐντεῦθεν αὐτὸς ὁ ὅσιος ἐπονομάζεται Σιγριανὸς καὶ Μεγαλαγρίτης.

(1) Περὶ τούτου ποιοῦνται λόγον ὁ Ζωναρᾶς (βιβλ. ιε΄. 20), ὁ Κεδρηνός, καὶ ὁ Γλυκᾶς.

(2) Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ιγ΄ Μαρτίου.

(3) Ἐξεδόθ. ἑλλην. καὶ λατιν. ὑπὸ Γοάρου τῷ 1685 ἐν Παρισίοις, inter Script. Byzantin. (ed Venet. 1727. XXIV. et Supplem. Romae, 1777. s.).

κόσμου κατὰ τοὺς Ο΄ ἑρμηνευτὰς τῆς Παλαιᾶς Θείας Γραφῆς. Ὁ ὅσιος Θεοφάνης ἐπέρανε τὸ πόνημα τοῦ φίλου αὐτοῦ Γεωργίου τοῦ Συγγέλλου, συγγραψαμένου σύντομον χρονογραφίαν ἀπὸ τῆς δημιουργίας τοῦ κόσμου μέχρι τοῦ 285ου σωτηρίου ἔτους.

Ἐν τῇ χρονογραφίᾳ τοῦ Θεοφάνους οὐκ ἔστι τοσαύτη χρονολογικὴ ἀκρίβεια, ὅση ἀφθονία ἱστορικῶν γεγονότων. Τὴν πρώτην ἀδύνατον ζητεῖν παρὰ τοῦ ὁσίου καὶ διὰ τὸ ὅτι τὸ σύγγραμμα αὐτοῦ, ὡς λέγει, ἐγράφη ἐν διωγμῷ, ὅτε οὔτε μέσα εἶχεν, οὔτε χρόνον πρὸς τὸ παραναγινώσκειν τὰς ἀριθμήσεις τῶν ἐτῶν τοῖς μνημείοις. Ὅσον δ᾽ ἀφορᾷ εἰς τὸ ἱστορικὸν μέρος, τὸ πόνημα τοῦτό ἐστιν ἐξαίρετον ἰδίως κατὰ τὸν πλοῦτον τοῦ περιεχομένου. Ἡ βραχύτης καὶ ἡ σαφήνεια ἀποτελοῦσι τὸ ἰδίωμα αὐτοῦ. Τὸ ἀξιόπιστον τῆς ἱστορίας βεβαιοῖ ἡ μέριμνα, μεθ᾽ ἧς συνελέγησαν αἱ εἰδήσεις ἐκ τῶν ἱστορικῶν καὶ ῥητόρων. Ὁ βιβλιοφύλαξ Ἀναστάσιος οὐ μόνον ἀνέγνω τὴν χρονογραφίαν, ἀλλὰ καὶ μέγα μέρος αὐτῆς, ὡς λέγει, κατεχώρησεν ἐν τῇ ἱστορίᾳ αὐτοῦ (1).

§. 266. Νικηφόρος ὁ Κωνσταντινουπόλεως Πατριάρχης.

Νικηφόρος ὁ ἐν ἁγίοις Πατριάρχης Κωνσταντινουπόλεως καὶ Ὁμολογητὴς ἦν τὸ σέμνωμα τοῦ αἰῶνος καὶ τοῦ θρόνου. Τὸ ἐπιφανὲς τοῦ γένους παρέσχεν αὐτῷ τὰ μέσα τοῦ τὴν ἐγκύκλιον ὡς ἄριστα παιδευθῆναι παιδείαν. Ὢν δὲ πάσης εὐφυΐας μεστὸς καὶ θείας καὶ ἀνθρωπίνης σοφίας ἱερὸν οἰκητήριον, ἐγένετο γραμματεὺς τῆς Αὐτοκρατείρας Εἰρήνης. Τοῦτο δὲ τὸ ἀξίωμα ἔχων, παρεγένετο ὡς ἐπίτροπος τοῦ Αὐτοκράτορος ἐν τῇ Ζ΄ Οἰκουμενικῇ Συνόδῳ, ἧς οἱ Πατέρες ἠγάσθησαν μεγάλως τὸν ὑπὲρ τῆς ὀρθοδοξίας ἔνθεον αὐτοῦ ζῆλον. Οὐδαμῶς δ᾽ ἀγαπῶν τὸν ἐν τῇ αὐλῇ θορυβώδη βίον, κατέλιπεν αὐτὴν καὶ τὴν Προποντίδα τοῦ ἄστεος κατέλαβεν, ἔνθα μόνος μόνῳ Θεῷ προσανεῖχε μέχρις οὗ ἐξελέγη (τῷ 806) Πατριάρχης Κωνσταντινουπόλεως. Κατὰ τὸν χρόνον τῆς χειροτονίας εἶχε μετὰ χεῖρας τὴν ὁμολογίαν τῆς πίστεως, ἣν ἔπειτα ἔθηκεν ὑπὸ τὴν ἁγίαν Τράπεζαν, ὡς σημεῖον ὑποσχέσεως—τηρῆσαι τὴν ἀλήθειαν τῆς Ἐκκλησίας. Ἀναλαβὼν τὴν κυβέρνησιν τῆς Ἐκκλησίας, προσήλωσε παραυτίκα

(1) Epist. ad Joannem Diacon. urb. Rom.

τὴν προσοχὴν αὐτοῦ τῇ διαγωγῇ τοῦ κλήρου καὶ ἔγνω καταπαῦσαι τὴν τῶν τρόπων διαφθοράν. Οὐ βουλόμενος μόνον τῇ αὐστηρότητι χρῆσθαι, ἐδέξατο εἰς ἐκκλησιαστικὴν κοινωνίαν τὸν Οἰκονόμον Ἰωσήφ, παράνομον τελέσαντα γάμον. Ἐκ τούτου κατεκρίθη ἀνεπιεικῶς ὑπὸ Θεοδώρου τοῦ Στουδίτου καὶ τοῦ Πλάτωνος. Ὁ θεῖος ἀνὴρ ἠβουλήθη καταστεῖλαι τὸν ἐγερθέντα σάλον τῇ ἐξουσίᾳ τῆς Συνόδου (τῷ 809), ἀλλ᾽ εἰς μάτην. Ἡ εἰρήνη ἀποκατεστάθη, ἐξορισθέντος τοῦ Ἰωσήφ. Μετὰ τοῦτο ἤρξαντο οἱ ὑπὲρ τῶν ἁγίων Εἰκόνων ἔνδοξοι αὐτοῦ ἆθλοι. Λέων ὁ Ἀρμένιος κατεῖδεν, ὅτι ἄνευ τοῦ Νικηφόρου οὐδὲν δύναται κατορθῶσαι ὑπὲρ τῆς κατὰ τῶν ἁγίων Εἰκόνων δυσσεβοῦς αὐτοῦ ἀποφάσεως. Ἐντεῦθεν ἐσπούδασε παντὶ σθένει καταστῆσαι τὸν θεῖον ἄνδρα ὁμόφρονα αὐτῷ· ἀλλ᾽ ὁ μέγας τῆς Ὀρθοδοξίας πρόμαχος ἔμενεν ἀκράδαντος. «Μάταιοι οἱ πόνοι σου, «εἶπε τῷ Λέοντι», οὐ δυνάμεθα καταπατῆσαι τὴν ἀρχαίαν Παράδοσιν· τιμῶμεν τὰς εἰκόνας τῶν ἁγίων, ὡς τὸν Σταυρὸν καὶ τὸ Εὐαγγέλιον». Ὁ Πατριάρχης κατεδείκνυ τὴν τῶν ἐναντίων πρὸς ἑαυτοὺς διαφωνίαν, ἀπελογεῖτο ὑπὲρ τῆς τοῖς ἁγίοις ἀπονεμομένης τιμῆς, καὶ παρεκάλει μὴ λύειν τὴν τῆς Ἐκκλησίας εἰρήνην. Ὁ Λέων ἐχρῆτο παντὶ τρόπῳ, ὅπως τύχῃ τοῦ σκοποῦ αὐτοῦ· ὁ δὲ ἅγιος Πατριάρχης προσηύχετο καὶ ἐδίδασκε τὸν λαόν. Τῷ 814 συνεκρότησεν ὁ Λέων σύνοδον ἐξ ὁμοφρόνων σχεδὸν αὐτῷ ἐπισκόπων καὶ ἐξέβαλε τὸν Πατριάρχην, παραινοῦντα μὴ ταράσσειν τὴν Ἐκκλησίαν, καὶ τοὺς φίλους αὐτοῦ τῆς συνεδρίας. Μετά τινας ἡμέρας μετεπέμψαντο αὐτὸν οἱ παράνομοι ἐπίσκοποι εἰς τὴν σύνοδον. Ὁ θεῖος ἀνὴρ εἶπε πρὸς τοὺς παραστάντας αὐτῷ, καὶ προτρέποντας αὐτὸν παραγενέσθαι τῇ συνόδῳ, ὅτι οὐκ ἔχουσι δίκαιον κρίνειν αὐτὸν ἐν τῇ ἰδίᾳ αὐτοῦ παροικίᾳ. «Τίς οὗτος ὁ λιβέλλους ἡμῖν ἐπισείων, καὶ τὰς καθ᾽ ἡμῶν ἐναγωγὰς εἰσδεχόμενος; Ποίας πατριαρχικῆς καθέδρας εὔχεται εἶναι πρόεδρος; Ποίας ποιμαντικῆς φροντίδος ἐπειλημμένος κανονικαῖς ἐνοχαῖς ἡμᾶς ὑποβέβληκεν; Εἰ ὁ τῆς πρεσβυτέρας Ῥώμης πηδαλιουχῶν ὁσίως τοὺς οἴακας ἐπικαλεῖ, παρέσομαι. Εἰ ὁ τῆς Ἀλεξάνδρου ἱεροκήρυξ ἐπαιτιᾶται, οὐκ ἀπειθήσας ἐφέψομαι. Εἰ ὁ τῆς Ἀντιόχου ἱεροποίμην ἕλκει πρὸς κρίσιν οὐκ ἀπολειφθήσομαι. Εἰ ὁ τὰ Ἱεροσόλυμα διέπων εἰς εὐθύνην ἡμᾶς καταστῆναι πρεσ-

κέκληται, οὐκ ἀπολείψομαι. Εἰ δέ γε λύκοι βαρεῖς τὴν ποίμνην ταράξαι προθέμενοι προβάτων δορὰν ὑποκρίνονται, καὶ κατὰ τοῦ Ποιμένος ὑβρίζουσι, τίς αὐτοῖς καὶ μόνον εἰς θέαν ἐλθεῖν κατανεύσειεν, οἷς καὶ ὁ θεῖος Ἀπόστολος τὸ τοῦ κρίματος ἐπεφόρτισεν ἄχθος; Ἀλλ' εἰ καί, κατὰ τὸν ὑμέτερον φλήναφον, τῷ τῶν κρατούντων καὶ ὑμῶν προστεθείημεν δόγματι, τὸν τῶν καθ' ἡμῶν λιβέλλων μῶμον ἀποτριψαίμεθα· καὶ ποία τάξις ἡμῖν ἀπονεμηθήσεται, ὑπευθύνοις οὖσιν, ὥς φατε, καὶ κανονικοῖς ἑαλωκόσιν ἐγκλήμασιν; Τίς οὖν ὁ αὐθημερὸν καθαιρῶν καὶ ἀνάγων εἰς ὕψος τὸν οὐδὲ κάτω στῆναι δυνάμενον; Ἢ ἀμυήτους καὶ ἀνεπιστήμονας περὶ τὴν τῶν θείων ἔρευναν ἡμᾶς ὑπειλήφατε; Τόλμημα ἐν τοῖς ἱερωμένοις οἷόν ἐστι κρῖμα λογίζεσθαι. Ἀλλ' ὄντως πρὸς τὴν τούτων παρόρασιν, καὶ πρὸς μόνην παράβασιν ἕτοιμον ἡ ἀσέβεια, τοὺς αὐτῇ πειθομένους εἰς ᾅδου καθέλκουσα πέταυρον. Ἀποχωρεῖτε οὖν ἀφ' ἡμῶν, ἐργάται τῆς ἀνομίας, πρὸς τὸν ἴδιον ὑμῶν ἔμετον ἀποστράφητε, πρὸς τὰ ληστείας ὑμῶν ἀναστράφητε σπήλαια. Οὐ γὰρ αἱρήσετε τοὺς ἐπὶ τῇ πέτρᾳ τῆς ὀρθῆς ὁμολογίας τὸν νοῦν ἀπερείσαντας, οὐ καταβαλεῖτε τοὺς ἐν τῷ ὕψει τῶν συνοδικῶν ὅρων ἑαυτοὺς ἐπιστήσαντας· ἀλλ' ἐν ὑμῖν αὐτοῖς συντριβήσεται τὰ τῆς αἱρέσεως κύματα, μηδεμίαν τῇ καθολικῇ Ἐκκλησίᾳ κατάκλυσιν προσπελάσαντα» (Β. §. ξδ'). Οἱ μὲν ἀνόσιοι ἐπίσκοποι καθεῖλον αὐτὸν τοῦ θρόνου, ὁ δὲ Αὐτοκράτωρ ὑπερώρισεν εἰς τὴν Προικόνησον. Ὁ ἅγιος Πατριάρχης οὐκ ἐπαύετο ὑπερμαχεῖν τῆς ἀληθείας καὶ ἐν τῇ ὑπερορίᾳ ὢν μέχρι τοῦ τάφου. Τὸ πνεῦμα παρέθετο εἰς χεῖρας Χριστοῦ τοῦ Θεοῦ τῷ 818 (1).

§. 267. Συγγράμματα αὐτοῦ.

Ὁ ἅγιος Νικηφόρος ἦν ἔκτακτον φαινόμενον τοῦ χρόνου αὐτοῦ διά τε τὴν θείαν καὶ ἀνθρωπίνην σοφίαν καὶ τὴν μεγαλοφυΐαν, ὑφ' ὧν ἐκοσμεῖτο.

Κατέλιπε συγγράμματα: 1] Ἱ σ τ ο ρ ι κ ά: α') ἱ σ τ ο ρ ί α ν σύν-

(1) Ὁ βίος τοῦ ἁγιωτάτου ἀνδρὸς συνεγράφη ὑπὸ Ἰγνατίου Διακόνου καὶ Σκευοφύλακος τῆς ἁγιωτάτης καὶ μεγάλης Ἐκκλησίας τῆς ἁγίας Σοφίας, μαθητοῦ αὐτοῦ.

τομον ἀπὸ τῆς Μαυρικίου βασιλείας ([1]). β') Χρονογραφίαν σύντομον ἀπὸ Ἀδὰμ μέχρι τῶν χρόνων Μιχαὴλ καὶ Θεοφίλου ([2]). Ὁ κριτικώτατος Φώτιος ἐπαινεῖ τήν τε λέξιν καὶ τὴν ἀκρίβειαν τῆς ἱστορίας τοῦ ἁγίου Πατρός ([3]). Τὴν τελευταίαν ἰδιότητα ἀποδοτέον καὶ τῇ χρονολογίᾳ αὐτοῦ. 2] Δογματικά. Ταῦτά εἰσιν α') ἡ ἐπιστολὴ τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρίῳ Λέοντι Πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης ([4]), καὶ ἡ ἀντιλογία πρὸς τὸν Αὐτοκράτορα Λέοντα ὑπὲρ τῶν ἁγίων Εἰκόνων ([5]). β') Ὁ λόγος ὑπὲρ τῆς ἀμωμήτου καὶ καθαρᾶς καὶ εἰλικρινοῦς ἡμῶν τῶν Χριστιανῶν πίστεως καὶ κατὰ τῶν δοξαζόντων εἰδώλοις προσκεκυνηκέναι, καὶ αἱ τρεῖς Ἀντιρρήσεις καὶ ἀνατροπαὶ τῶν παρὰ τοῦ δυσσεβοῦς Μαμωνᾶ ([6]) κατὰ τῆς σωτηρίου τοῦ Θεοῦ Λόγου Σαρκώσεως ἀμαθῶς καὶ ἀθέως κενολογηθέντων ληρημάτων. Τὰ δύο ταῦτα συγγράμματά εἰσι μακρά, πάνυ σπουδαῖα, καὶ περιέχουσιν οὐκ ὀλίγας ἱστορικὰς εἰδήσεις. Ὁ Βανδούριος προπαρασκευάσας αὐτὰ εἰς ἔκδοσιν, γράφει: «Ἐνταῦθα ἀποκαλύπτονται ἅπασαι αἱ δυσσεβεῖς δοξασίαι τῶν εἰκονομάχων, οἱ ἀσεβεῖς λόγοι καὶ τὰ μηχανήματα, καὶ μετὰ θαυμαστῆς ἀκριβείας ἀνασκευάζονται. Ὡς πρὸς τοῦτο οὐδὲν ἄχρι τοῦ νῦν τελειότερον ἐγράφη. Ἐνταῦθα πάνυ πολλά, εἰς τὴν ἱστορίαν ἀφορῶντα καὶ ὑπὸ τῶν ἱστορικῶν παραλειφθέντα, ἱστοροῦνται . . . . Περὶ τῆς ἐν Νικαίᾳ Β' Συνόδου ἀπαντῶσιν εἰδήσεις, αἵτινες ἐν οὐδεμιᾷ τῶν συλλογῶν τῶν συνοδικῶν Πρακτικῶν ὑπάρχουσι, καὶ ἃς ἐκτίθη-

([1]) Ἐκδ. Nicephori P. Hist. gr. lat. ex recensione Octavii, 1616. Paris. 8. Georgius Syncellus et Nicehporus, gr. et lat. c. ement. ex recensione Dindorhpii II. vol. Bon. 1829.

([2]) Ἀρίστη ἔκδοσίς ἐστιν ἡ τοῦ Κρεδνένου P. 1. 2. Gissaæ. 1832, 1838.

([3]) Ἀνάγν. ξς'.

([4]) Ἐξεδ. ὑπὸ Λαβδέου in Collect. Concil, T. VII p. 1205. gr. lat. ὑπὸ Βαρωνίου in Annal. ad an. 816.

([5]) Ἐξεδ. ὑπὸ Κομβεφισίου Orig. Constantinopol. Psris. 1664. 4.

([6]) Μαμωνᾶν καλεῖ Κωνσταντῖνον τὸν Κοπρώνυμον. Σ. Μ.

σι σύγχρονος. Πάνυ πολλὰ χωρία ἐκ τῶν συγγραμμάτων τῶν Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας ἄχρι τοῦ νῦν ἄγνωστα παράγονται ἐν αὐτοῖς. Πρὸς δὲ αἱ μαρτυρίαι παράγονται οὐκ ἀδιακρίτως. Τοὐναντίον ὁ Πατριάρχης ἐξετάζει τὸ γνήσιον τῶν συγγραμμάτων μετὰ προσοχῆς καὶ καθίστησιν αὐτὸ πρόδηλον». Δυστυχῶς τοιαῦτα ἐξαίρετα συγγράμματα μένουσιν ἄχρι τοῦ νῦν ἀνέκδοτα ἐκτὸς ὀλίγων τεμαχίων (1).

(1) Ὁ Βανδούριος ὑπέσχετο ἐκδοῦναι αὐτά, ἀλλὰ δυστυχῶς οὐκ ἐπληρώθη ἡ πρόθεσις αὐτοῦ. Βρηχεῖαν μόνον αὐτῶν περιγραφὴν ἐξέδωκεν. [Αἱ τρεῖς ἀντιρρήσεις καὶ ὁ Ἀπολογητικὸς ἐξεδόθησαν ὑπὸ τοῦ Μιγνίου, ὡς καὶ ὁ Ἀπολογητικὸς μικρὸς πρὸς τὴν καθολικὴν Ἐκκλησίαν περὶ τοῦ κατὰ τῶν σεπτῶν εἰκόνων πάλιν νέου σχίσματος. Patrolog. Curs. complet. T. C. Σ, M.]. Κατὰ τὴν περιγραφὴν αὐτοῦ ὁ ἅγ. Νικηφόρος ἔγραψε: α) Ἀπολογητικὸν ὑπὲρ τῆς Ὀρθοδόξου πίστεως ἐν πδ'. κεφαλ. καὶ γ'. μέρεσιν. Ἐν τοῖς δυσὶ μέρεσιν ἐξήτασεν ἐν χρονολογ. τάξει τὰς μαρτυρίας τῆς Π. Δ. β) Ἀντιρρητικὸν ἐν τρισὶ βιβλίοις κατὰ τοῦ Μαμωνᾶ, τουτ. κατὰ Κωνσταντίνου τοῦ Κοπρωνύμου καὶ τῶν διαταγμάτων αὐτοῦ. Ἐκ τοῦ Γ' βιβλίου κατεχώρησεν ὁ Θεοφάνης ἐν τῇ χρονογραφίᾳ αὐτοῦ διήγησιν περὶ τοῦ Κοπρωνύμου· δύο τεμάχια ἐκ τοῦ Β' βιβλίου καὶ ἓν ἐκ τοῦ Γ' ἐξεδόθησαν ὑπὸ τοῦ Κομβεφισίου Buctar. B. Patr. T. I. Paris. p 267-280. T. II. p. 603-610. T. I. p. 277). γ) Ἀντιρρητικὸν κατὰ Εὐσεβίου καὶ Ἐπιφανίου ἐν β' βιβλίοις. Ἐν τῷ α' περὶ τοῦ βίου καὶ τῆς διδασκαλίας Εὐσεβίου τοῦ Καισαρείας· ἐν τῷ β' περὶ τῆς διδασκαλίας τοῦ ψευδωνύμου Ἐπιφανίου περὶ τῶν εἰκόνων· δ) Ἀντιρρητικὸν κατὰ τῶν τολμώντων ὀνομάζειν εἴδωλον εἰκόνα ἐν 10 κεφαλ. ε) Ἀντιρρητικὸν ἐν β' μέρ. ἐν τῷ α' ἀνασκευὴ τοῦ παρανόμου ὁρισμοῦ τῶν καταλιπόντων τὴν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν καὶ πειρωμένων καταστρέψαι τὴν Ἐνανθρώπησιν τοῦ Θεοῦ Λόγου. ἐν τῷ β' ὑπάρχουσιν κ' κεφάλ. Εἰς τὸ σύγγραμμα τοῦτο ἀναφέρονται τέσσαρες πραγματεῖαι τοῦ Ὁμολογ. Νικηφόρου, ἐκδοθ. ὑπὸ Κανισίου (Ant. lect. T. II. P. 2. ed Basnagii) : αα) Κεφάλαια ιβ' κατὰ τῶν ἐξάρχων τῆς ἀποστασίας, τῶν ἀνατρεπόντων τὴν Ἐνανθρώπισιν τοῦ Χριστοῦ. ββ) Διαφορὰ εἰκόνος Χριστοῦ καὶ σταυροῦ ἐν δέκα ἀποδείξεων συλλογιστικῶν τρόποις· γγ) περὶ τῶν Χερουβὶμ τοῦ Μωϋσέως· δδ) περὶ εἰκόνων. Τὸ ἑλλην. κείμ. τῶν δύο πρώ-

«Τὴν παράδοσιν, λέγει ὁ ἅγιος Πατριάρχης, ἣν παρέλαβεν ἐξ ἀρχῆς καὶ ἄνωθεν ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, καὶ πάντες οἱ χριστιανοὶ ἐφύλαξαν καὶ φυλάττουσιν, οὗτοι (οἱ εἰκονομάχοι) ἠθέτησαν καὶ ἀπεσείσαντο· φανερὸν δὲ πᾶσιν, ὅτι ἡ χρονία καὶ ἀρχαία τῆς Ἐκκλησίας παράδοσις πάντων ἐστὶ τὸ ἰσχυρότατον, καὶ πάσης ἀποδείξεως ἐναργέστερον καὶ βεβαιότερον, καθὼς οἱ ἅγιοι ἡμῶν Πατέρες διδάσκουσι τοῖς ἀποστολικοῖς ἑπόμενοι θεσπίσμασιν· ὁ γὰρ μέγας Ἀπόστολος παρακελεύεται, ὅτι κρατεῖτε τὰς παραδόσεις, ἃς παρελάβετε ἐγγράφως καὶ ἀγράφως· καὶ εἴτις παρὰ ταῦτα εὐαγγελίζεται ὑμῖν, ἀνάθεμα».

«Ὅτι τὰς ἁγίας καὶ Οἰκουμενικὰς Συνόδους ἔρριψαν, τὴν μὲν ἁγίαν Σύνοδον ἠθέτησαν, Εὐσέβιον τὸν τοῦ Παμφίλου διδάσκαλον προβαλλόμενοι καὶ τοὺς ὁμόφρονας αὐτοῦ· ὅστις γέγονε τῆς ἀρειανῆς μανίας ἔξαρχος . . . . . Ὅτι παρὰ τῆς ἁγίας τρίτης Συνόδου τοῖς ἀναθέμασι καθυποβέβληνται· ἐκήρυξε γὰρ ἡ αὐτὴ ἁγία τρίτη Σύνοδος περιγραπτὸν εἶναι τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν τὸ κατὰ σάρκα, καὶ τοὺς μὴ καταδεχομένους τὴν φωνὴν ταύτην ἀνεθεμάτισαν».

«Ὅτι τοῖς αὐτοῖς ἀναθέμασιν ὑπόκεινται παρὰ τῆς ἁγίας μεγάλης τετάρτης Συνόδου, ἥτις τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐκ δύο φύσεων καὶ ἐν δυσὶ φύσεσι καὶ μιᾷ ὑποστάσει γνωριζόμενον, τέλειον ἐν Θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι ἐδογμάτισεν· ὅπερ οὐδὲν ἕτερον, ἢ ἀπερίγραπτον ὁμολογεῖν κατὰ τὴν Θεότητα, περιγραπτὸν δὲ κατὰ τὴν ἀνθρωπότητα· τὸ γὰρ τέλειον ἐπ' ἀμφοτέρων ἑτέρως οὐ διασώζεται. Οὗτοι δὲ τὴν Σύνοδον ἀθετήσαντες, τὸ ἀπερίγραπτον αὐτὸ κατὰ πάντα ἐπιφημίζουσιν».

«Ὅτι τὰ καλῶς καὶ εὐσεβῶς δογματισθέντα παρὰ τῶν Πατέρων τῆς ἁγίας ἕκτης Συνόδου διέπτυσαν καὶ κατεπάτησαν. Οὗτοι γὰρ οἱ Θεοφόροι ἡμῶν Πατέρες, ἔν τισι τῶν σεπτῶν Εἰκόνων γραφαῖς, καὶ τὸν Ἀμνὸν ἱστορούμενον εὑρόντες, εἰς τύπον παραληφθέντα τοῦ Ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου Χριστοῦ, τοῦτον μὲν ὡς τύπον καὶ σκιὰν τοῦ μυστηρίου τῆς Οἰκονομίας φέροντα ἔπαυσαν,

των πραγμ. ἐξεδόθ. ὑπὸ Μαΐου in Spicil. Romano T. X. πρβλ. Fabricii Bibl. Gr. VI. 640. Oudini Comm. II. 13-19.

τὴν χάριν δὲ προτιμῶντες καὶ τὴν ἀλήθειαν, ὡρίσαντο ἐξ ἐκείνου τοῦ χρόνου καὶ εἰς τὸ ἑξῆς, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα μόνον τὴν τοῦ Σωτῆρος Εἰκόνα ἀναστηλοῦσθαι» (1).

3] Γνωστὰ τὰ κανονικὰ πονήματα τοῦ θεοσόφου Ποιμένος τῆς Ἐκκλησίας (2). Οἱ κανόνες αὐτοῦ καταδεικνῦσι τήν τε σοφίαν αὐτοῦ καὶ τὴν ποιμαντικὴν εὐσέβειαν. Τὰ μέγιστά εἰσι σπουδαῖοι ὅσον ἀφορᾷ εἰς τὴν ἱστορίαν τοῦ κανονικοῦ δικαίου καὶ τὰς ἱεροτελεστίας τῆς ἁγίας Ἐκκλησίας.

§. 268. Θεόδωρος ὁ Στουδίτης.

Θεόδωρος ὁ Στουδίτης (ἡγούμενος τῆς ἐν Κωνσταντινουπόλει Μονῆς τοῦ Στουδίου), μοναζόντων κανών, τῆς Ἐκκλησίας φωστήρ, ἅγιος τοῦ ἁγίου Πλάτωνος ἀνεψιός. Ὢν υἱὸς εὐγενῶν καὶ πλουσίων γονέων, κάλλιστα ἐπαιδεύθη καὶ ἔπειτα τῇ ἐνδελεχεῖ ἀναγνώσει καὶ τῇ τοῦ βίου ἁγνείᾳ καὶ καθαρότητι εἰς τὸ ἀκρότατον ὕψος τῆς γνώσεως ἀνήχθη. «Ὁ Θεόδωρος, λέγει ὁ ἅγιος Δημήτριος ὁ Ροστοβίας, τὴν ἑλληνικὴν σοφίαν παιδευθείς, ἦν ῥήτωρ λαμπρὸς καὶ φιλόσοφος ἔξοχος, καὶ τῶν θείων δογμάτων εἰδήμων» (3). Δύο καὶ εἴκοσιν ἔτη γεγονώς, ἠσπάσατο τὸν μοναχικὸν βίον. Μετὰ τοῦ θείου αὐτοῦ Πλάτωνος ἀπεχώρησεν εἰς ἀνακεχωρηκότα τόπον τοῦ Σακουδίωνος λεγόμενον, καὶ μετὰ ταῦτα γενόμενον ἓν τῶν περὶ τὴν Κωνστ]πολιν σημαντικωτάτων Μοναστηρίων. Ἐνταῦθα παρέδωκεν ἑαυτὸν τοῖς αὐστηροτάτοις τῶν ἀγώνων τῆς μοναδικῆς πολιτείας, καὶ ἀκαμάτως ἠσχολεῖτο περὶ τὴν ἀνάγνωσιν τῆς ἁγίας Γραφῆς, τῶν συγγραμμάτων τῶν ἁγίων Πατέρων, καὶ κατ᾽ ἐξοχὴν Βασιλείου τοῦ Μεγάλου. Τῷ 794, ζῶντος ἔτι τοῦ θείου αὐτοῦ, ἐδέξατο ἄκων τὴν κυβέρνησιν τῆς Μονῆς τοῦ Σακουδίωνος (*), καὶ ὡς ἄγρυπνος ἀρχηγὸς ταχέως ἔπεισε τοὺς μὴ ἐπιλαθομένους τοῦ κοσμικοῦ βίου μονα-

(1) Τὸ τεμάχιον τοῦτο ἐξεδ. ὑπὸ Κανισίου (Anct. Lect. T. II. P. 2. p. 4-8) καὶ ὑπὸ Μαΐου in Spicil. Rom. T. X. p. 152-160.

(2) Ἐξεδόθ. ὑπὸ Κοτελερίου in Monum. Eccles. gr. T. III. p. 445. s. καὶ ὑπὸ Mansi T. IV. concil. ὁ Γλυκᾶς (Ἱστορ. 294) παράγει τὸν να΄ καν. τοῦ θείου Πατρός.

(3) Μηνολ. ια΄ Νομεβρ.

(*) Ἱερεὺς ἐχειροτονήθη ἐν Κωνσταντινουπόλει ὑπὸ τοῦ ἁγίου Ταρασίου. Σ. Μ.

χοὺς πολιτεύεσθαι συνῳδὰ τῇ κλήσει αὐτῶν. Ἔπειτα ἐγένετο θαρραλέος κατήγορος τοῦ Αὐτοκράτορος Κωνσταντίνου ἄνευ αἰτίας καταλιπόντος τὴν σύζυγον αὐτοῦ Μαρίαν καὶ συζευχθέντος τῇ Θεοδότῃ, συγγενεῖ οὔσῃ τῷ ἁγίῳ Πλάτωνι, καὶ ἐντεῦθεν καὶ αὐτῷ. Ταῖς θωπείαις, αἷς ἠβουλήθησαν κτήσασθαι τὴν περὶ τοῦ γεγονότος τούτου εὐμενῆ αὐτοῦ ἀπόφανσιν, ἠκολούθησαν χαλεποὶ διωγμοί. Τῷ 796 ἀπήχθη μετὰ δέκα μοναχῶν εἰς Θεσσαλονίκην (¹). Κατὰ τὸ ἐπιὸν ἔτος, τελευτήσαντος τοῦ Κωνσταντίνου, ἀνεκλήθη ὑπὸ τῆς Εἰρήνης, καὶ τῷ 798 ἐγένετο ἡγούμενος τοῦ Στουδίου (²). Ἐνταῦθα συνήγειρε περὶ τοὺς 1000 ἀδελφούς· εἰσήγαγεν αὐστηρὰν ἐν ἅπασι τάξιν· ἵδρυσε περὶ τὴν Μονὴν σχολὴν πρὸς ἐκπαίδευσιν τῶν παίδων. Διδοὺς τοῖς ἀδελφοῖς παράδειγμα, λέγει ὁ μαθητὴς αὐτοῦ Μιχαήλ, ἠσχολεῖτο καθ' ἑκάστην ὁτὲ μὲν περὶ χειρόγραφα, ὅτε δὲ περὶ ταπεινὰς ἐργασίας. Ἀλλ' ὁ πειρασμὸς ἦν ἤδη ἕτοιμος. Ὁ Αὐτοκράτωρ Νικηφόρος οὐ μόνον αὐτὸς διέκειτο εὐμενῶς πρὸς τοὺς Παυλικιανούς, ἀλλὰ καὶ κατέθλιβε τοὺς μὴ ἐμοφρονοῦντας αὐτῷ. Ἠνάγκασε τὸν Πατριάρχην συγχωρῆσαι τῷ στεφανώσαντι τὸν Κωνσταντῖνον μετὰ τῆς Θεοδότης Ἰωσήφ. Ὁ Θεόδωρος ἔλεγεν, ὅτι οὐκ ἀθωωτέον τὸν ἔνοχον ἄνευ μετανοίας, καὶ οὐκ ἠβούλετο συλλειτουργεῖν τῷ Πατριάρχῃ, λειτουργοῦντος τοῦ Οἰκονόμου Ἰωσήφ. Τὸν Θεόδωρον ὑπερώρισαν τῷ 809 (³). Ἀλλὰ καὶ ἐκ τῆς ὑπερορίας ἔγραφεν ἐλευθέρως πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ καὶ τῇ Δύσει κατὰ τῶν παραβατῶν τῶν ἐκκλησιαστικῶν νόμων (⁴). Τῷ 811 ἐπανήγαγον αὐτὸν ἐκ τῆς ὑπερορίας. Ὅτε Λέων ὁ Ἀρμένιος, γνοὺς ἐκδοῦναι διάταγμα κατὰ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων,

---

(¹) Ἐπιστ. Θεοδώρ. γ΄.

(²) Ἡ Μονὴ τοῦ Στουδίου καθιδρύθη ὑπό τινος Στουδίου, Πατρικίου, Ρωμαίου, κατὰ τὸν ε΄ αἰῶνα ἐπὶ τοῦ Αὐτοκράτορος Λέοντος τοῦ Α΄. Οἱ σταυροφόροι κατέστρεψαν αὐτήν, ἀλλὰ Κωνσταντῖνος, ὁ ἀδελφὸς τοῦ Αὐτοκράτορος Ἀνδρονίκου τοῦ πρεσβυτέρου, ἀνεκαίνισεν αὐτὴν μεγαλοπρεπῶς καὶ περιέβαλε λιθίνῳ τείχει. Ὁ μεγαλοπρεπὴς τοῦ Στουδίου ναὸς μετὰ κορινθιακῶν στηλῶν ἐκ πρασινώδους ἰάσπιδος μετεβλήθη εἰς μωαμεθανικὸν τέμενος.

(³) Ἐπιστ. κ΄ κα΄.

(⁴) Ἐπιστ. λγ΄ πρὸς Λέοντα Π. Ρώμης.

συνεκρότησεν ἐν Κωνσταντινουπόλει σύνοδον (τῷ 814) ἵνα γένηται δεκτὴ ἡ ἀπόφασις αὐτοῦ, ὁ ἅγιος Θεόδωρος εἶπεν: «Ὦ βασιλεῦ, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ εἰρηνεύουσαν, πόθεν σοὶ ταράξαι νῦν ἐπῄει καὶ διαθεῖναι κακῶς; Οὐδὲ τὰ συμβάντα τοῖς πρὸ σοῦ διώκταις, ὧν καὶ πρὸς ὄνομα ἤδη ἐμνήσθης, ἐπὶ νοῦν ἦλθε, καὶ τὴν ὁρμὴν διεκώλυσεν; Οἷς τὰ ὅμοιά σοι δράσασι, καὶ τὰς ἱερὰς Εἰκόνας ὑβρίσασιν, οὐδ᾽ ἔστιν εἰπεῖν ὅσιον, οὗτοι καὶ τὴν τιμωρίαν ἔτισαν, πρὸς τὸ λιπεῖν τὴν κακίαν ἀνάγραπτον, μεθ᾽ ἧς βεβιώκασιν. Οὐδ᾽ ἡ μακρὰ καὶ τοῖς μακροῖς χρόνοις ἐπίδηλος τῶν θείων Εἰκόνων τιμή, τῶν τε θεοφόρων Πατέρων εἰς ἓν περὶ τούτου ὁμολογία καὶ σύμπνοια πείθει σε, ὦ καινῶν δογμάτων ὑπασπιστά, τῶν φαύλων τούτων ἀπέχεσθαι καὶ λοιμωδῶν, καὶ τὰ βελτίω ἑλέσθαι, καὶ γνωσιμαχῆσαι, καὶ κατιδεῖν τὴν ἀλήθειαν. . . . Οὐκ ἐχρῆν ἡμᾶς, ὦ βασιλεῦ, ἀπαραδέκτως ἔχοντί σοι περὶ τὰ καλὰ ἢ λέγειν τι τοῦ λοιποῦ, ἢ ἀντιφθέγγεσθαι. Ἐπεὶ δ᾽ αὐτὸς πρὸς πεύσεις καὶ ἀποκρίσεις καὶ νῦν ἡμᾶς προσκαλεῖς τοῦτό σοι πρὸ τῶν ἄλλων ἀποκρινόμεθα, ὅτι τὰ τῶν Ἐκκλησιῶν τοῖς ἱερεῦσιν ἀνήκει καὶ διδασκάλοις, βασιλεῖ δ᾽ ἡ τῶν ἔξω πραγμάτων ἀνεῖται διοίκησις. Τοῦτο γὰρ καὶ ὁ Ἀπόστολος νομοθετῶν φησιν: Ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας, τρίτον Διδασκάλους· καὶ οὐδαμοῦ βασιλέας μέμνηται. Οὗτοι γὰρ καὶ τὰ περὶ δογμάτων καὶ πίστεως νομοθετεῖν ἐποφείλουσι. . . .» Ὁ Λέων ὑπερώρισεν εἰς διαφόρους τόπους τοὺς Πατέρας· κατεβίβασε τὸν Πατριάρχην τοῦ θρόνου· οἱ ὀρθόδοξοι ἔπαθον πολλὰ δεινά· ἡ Ἐκκλησία ἐξησθένησεν ἐν ταῖς θλίψεσιν. Ὁ Θεόδωρος ἐτέλεσε πρὸς ἐμψύχωσιν τῶν ἀπηνῶς καταδιωκομένων φίλων τῆς ὀρθοδοξίας τῇ Κυριακῇ τῶν Βαΐων περὶ τὴν Μονὴν αὐτοῦ μεγαλοπρεπῆ λιτανείαν, καθ᾽ ἣν οἱ μοναχοὶ λαβόντες ἐν χερσὶν εἰκόνας καὶ βαστάζοντες αὐτὰς ὑψοῦ, ἔψαλλον μεγαλοφώνως: «Τὴν ἄχραντον Εἰκόνα Σου προσκυνοῦμεν ἀγαθέ». Μαθὼν τοῦτο ὁ Λέων ἐξεμάνη κατὰ τοῦ Ὁμολογητοῦ, καὶ μετὰ δεινὰς μαστιγώσεις ἐξώρισεν αὐτὸν εἰς Μέτωπα, τόπον τελματώδη, καὶ κατέκλεισεν ἐν ρυπαρῷ δεσμωτηρίῳ. Τῷ δὲ 815 ἀπήγαγον αὐτὸν εἰς ἕτερον φρούριον Βόνιταν καλούμενον, καὶ ἅπασιν ἀπηγορεύθη ἡ πρὸς αὐτὸν εἴσοδος. Ὁ Θεόδωρος οὐκ ἐπαύετο παρηγορῶν δι᾽ ἐπιστο-

λῶν καὶ διδάσκων τοὺς διεσκορπισμένους τῆς ὀρθοδοξίας Ὁμολογητάς· ἔγραφε πρὸς τοὺς Πατριάρχας Ἀλεξανδρείας καὶ Ἱεροσολύμων, πρὸς τὸν Ρώμης Πάπαν, παρακαλῶν ὑπερμαχῆσαι τῆς ὀρθοδοξίας ([1]). Διὰ τῶν παραινέσεων αὐτοῦ λίαν πολλοὶ ἐπεστράφησαν εἰς τὴν ὀρθοδοξίαν· ἀλλὰ διὰ τοῦτο ἔτυψαν δεινῶς ῥάβδοις τὸν θεῖον Ὁμολογητήν, καὶ κατατετραυματισμένον καθεῖρξαν ἐν ὑγρῷ δεσμωτηρίῳ, ἵνα ἐκτακῇ ὑπὸ τῆς πείνης καὶ τῆς δίψης. Τὰ παθήματα αὐτοῦ ἦσαν ἀπερίγραπτα, ἀλλ' ἐκράτυνεν ἑαυτὸν τῇ τε προσευχῇ καὶ τῇ κοινωνίᾳ τῶν ἁγίων Μυστηρίων ([2]). Ἀναγνοὺς ὁ δυσσεβὴς Αὐτοκράτωρ ἐπιστολὴν κατηχητικὴν τοῦ ἁγίου Πατρός, προσέταξε τῷ τῆς ἑῴας στρατηγῷ μαστίσαι αὐτὸν ἀπανθρωπότατα. Ὁ ταπεινὸς τοῦ τυράννου ὑπηρέτης, ἀποδύσας τὸν θεῖον ἄνδρα, ἐπήνεγκεν αὐτῷ δεινὰ τραύματα. Ἐπὶ τρεῖς ὅλους μῆνας ἐπάλαιε πρὸς τὸν θάνατον ὁ μέγας τῆς ὀρθοδοξίας πρόμαχος. Οὔπω δὲ τῆς τῶν τραυμάτων εὐδιατεθείσης συνουλώσεως, ἀπήχθη (τῷ 819) εἰς Σμύρνην, ἔνθα ἐνέκλεισαν αὐτὸν δυσωδεστάτῃ εἱρκτῇ καὶ τῷ βασανιστηρίῳ ξύλῳ ἐνέβαλον. Τῷ 820 ἐφονεύθη ὁ δυσσεβὴς Λέων. Ὁ τοῦτον διαδεξάμενος Μιχαὴλ ἐκέλευσε πάντας τοὺς ἐξορισθέντας καὶ ἐν φρουραῖς κατεχομένους ὀρθοδόξους τῶν δεσμῶν ἀπολύεσθαι. Τότε δὴ ὁ μέγας ὁμολογητὴς Θεόδωρος ἐπανῆλθε ἐκ τῆς Σμύρνης εἰς τὴν πρωτεύουσαν, ἔνθα οὐκ ἔτι πολὺ διέτριψεν. Ὁ Μιχαὴλ οὐκ ἦν φίλος τῆς παιδείας, ἦν ἀκόλαστος, καὶ οὐκ ἐπίστευεν εἰς τὴν μέλλουσαν ζωήν. Ὁ θεῖος Πατὴρ οὐ βουλόμενος εἶναι μάρτυς τῆς ἀκολασίας, ἀπεχώρισεν εἰς τὴν προσπελάζουσαν τῷ Ἀκρίτᾳ χερσόννησον, τὴν ἐπιλεγομένην τοῦ ἁγίου Τρύφωνος. Μικρὸν πρὸ τῆς τελευτῆς αὐτοῦ παρεκάλεσε τοὺς ἑαυτοῦ μαθητὰς φῶτα ὑπανάψαι καὶ ἀπάρξασθαι τῶν ἐξοδίων ὕμνων. Οἱ δὲ κύκλῳ περιστάντες ἤρξαντο ψάλλειν τὸν Ἄμωμον· ἅμα δ' εἰρήκασι τὸν στίχον τῆς δευτέρας στάσεως εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με, παρέδωκε τὴν ψυχὴν αὐτοῦ τῷ Κυρίῳ ἑπτὰ καὶ ἑξήκοντα βεβιωκὼς ἐνιαυτοὺς (τῷ 826).

([1]) Ἐπ. Β΄ ἐπ. 14. σελ. 402. 567. 300. 302. 399.

([2]) Ἐπιστ. λδ΄.

§. 269. Συγγράμματα αὐτοῦ.

Ὁ ἅγιος Θεόδωρος συνέταξε πολλὰ συγγράμματα: λόγους, κατηχήσεις, ἐπιστολάς, κανόνας καὶ στιχηρά, ἐπιγράμματα, καὶ βιογραφίας.

Ὁ κύριος σκοπὸς τῶν συγγραμμάτων τοῦ αὐστηροῦ ἀσκητοῦ ἦν ἡ ψυχικὴ σωτηρία. «Οὐ κόμποι ῥημάτων καὶ λέξεων τορεία καρδίαν οἶδε συντρίβειν, ἀλλὰ ταπεινὸς λόγος, καὶ ἐπ' ὠφελείᾳ συντεθειμένος καὶ τὸ πᾶν ὑγιής· ὅς γε καὶ ὑπὲρ πᾶσαν ἐμοὶ δόξης παίδευσιν ἄξιος λελόγισται τοῦ παντός, καὶ τοῦ διῃρημένου καὶ μόνην τὴν ἀκοὴν τέρποντος πολλῷ φαίνεται τιμιώτερος». Ταῦτα εἶπεν ὁ καὶ μετὰ θάνατον ζῶν δίκαιος ἐν ὁράσει τῷ παυσαμένῳ ἀναγινώσκειν τὰ συγγράμματα αὐτοῦ, ὡς στερούμενα ῥητορικῶν καλλονῶν (¹). Ἔστι δὲ τὴν φράσιν ὁ θεσπέσιος Πατὴρ ἀπέριττός τε καὶ σαφής.

Ἐκ τῶν πολυαρίθμων αὐτοῦ συγγραμμάτων δογματικά εἰσι τὰ κατὰ τῶν εἰκονομάχων γραφέντα. Τοιαῦτά εἰσι: βίβλος δογματική, ἐν ᾗ στερροὶ λόγοι τρεῖς καὶ ἀντιρρητικοί,· κατὰ εἰκονομάχων κεφάλαια ἑπτά (²), καὶ πολλαὶ τῶν ἐπιστολῶν, διαγραφουσῶν τὴν ἱστορίαν τῆς εἰκονομαχίας (³).

(¹) Περὶ τούτου γράφει ὁ μαθητὴς αὐτοῦ Μιχαήλ.

(²) Παρὰ Σιρμόνδῳ σελ. 89-168. Παρὰ τῷ αὐτῷ: α) Λόγος ὑπὲρ τῶν ἁγίων εἰκόνων· β) Προβλήματά τινα πρὸς εἰκονομάχους· γ) Ἐπιστολὴ πρὸς Πλάτωνα περὶ τῆς προσκυνήσεως τῶν σεπτῶν εἰκόνων· δ) Ἔλεγχος καὶ ἀνατροπὴ τῶν ἀσεβῶν ποιημάτων Ἰωάννου, Ἰγνατίου, Σεργίου, καὶ Στεφάνου τῶν νέων χριστομάχων· ε) Δογματικὴ περὶ τιμῆς καὶ προσκυνήσεως τῶν ἁγίων Εἰκόνων (in Bibl. Patr. Paris. 1644. 1654) ς) Λόγος εἰς τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ ἐν τῇ μεσονηστίμῳ. Ἀνέκδοτα συγγράμματα: α) Ἐκλογαὶ ἐκ τῶν Διδασκάλων τῆς Ἐκκλησίας περὶ τῶν εἰκόνων· β) Στηλιτευτικός, οὗ μνείαν ποιεῖται αὐτὸς ὁ ὅσιος Θεόδωρος ἐν τῇ ἀρχῇ τοῦ Α΄. Ἀντιρρητικοῦ γ) Κατὰ εἰκονομάχων κεφάλ. ΙΒ΄. in cod Mosquensi 297.

(³) Αἱ ἐπιστολαὶ διαιροῦνται εἰς δύο βιβλία, ὧν τὸ μὲν πρῶτον σύγκειται ἐκ νζ΄ ἐπ., τὸ δὲ δεύτερον ἐκ σιδ΄. Sirmondi p. 221. 370-353.

Παραινετικὰ αὐτοῦ συγγράμματά εἰσιν αἱ δύο Κατηχήσεις, ἡ μεγάλη καὶ ἡ μικρά, ὧν ἡ μὲν πρώτη σύγκειται ἐκ σνδ΄ Λόγων, ἢ Κεφαλαίων, ἡ δὲ δευτέρα ἐκ ρλδ΄ (¹). Ὁ μαθητὴς τοῦ ὁσίου γράφει: «Καὶ πρώτη μὲν βίβλος αὐτῷ ἡ Μικρὰ λεγομένη Κατήχησις, τεσσάρων οὖσα καὶ τριάκοντα λόγων πρὸς τοῖς ἑκατόν. ἣ τοῖς ἀδελφοῖς ἐπὶ στόματος ὡμιλήθη, καὶ τὰ πρόσφορα ἑκάστῃ ἡμέρᾳ, ἐννοίαις ὑπερφυέσι καὶ ῥήμασι θειοτέροις, εὐσκόπως ἐν αὐτῇ ἐνεσημάνθη, τοῦτο μέν, ἀνδρεία ψυχῆς καὶ τῶν δεινῶν ὑπερφρόνησις· τοῦτο δέ, καρτερία περὶ τὴν ἄσκησιν καὶ τῶν μελῶν νέκρωσις· τοῦτο δ᾽ ἐν τοῖς καθ᾽ ἡμέραν ἀγωνίσμασι, στερρότης νοῦ, καὶ τῶν ἐπιόντων ἀντίστασις. Ταύτης τῆς βίβλου τρεῖς λόγων περικοπαὶ κατὰ μίαν τῶν ἑβδομάδων παρ᾽ ἡμῖν ἐπ᾽ ἐκκλησίας ἀναγινώσκονται· ὑπόμνησίν τε ἡμῖν δηλαδὴ τῶν πρακτέων, καὶ τοῦ ἑξῆς βίου εἰσηγούμεναι τὴν ὠφέλειαν. Δευτέρα δὲ μετ᾽ ἐκείνην ἐπονήθη βίβλος αὐτῷ, ἡ Μεγάλη καλουμένη Κατηχητική, ἐν τρισὶ τμήμασι διαπλουμένη· ἣ καὶ ἀνὰ μέρος τὰ καλὰ τοῦ κοινοβίου διεμφαίνει παραγγέλματα, τὴν διδασκαλίαν, ὡς οὐκ ἄν τις εἴπῃ, διεξιοῦσα εἰς τὸ ὠφελιμώτατον. Ὅσης δὲ ἀμφότεραι χάριτος καὶ φιλοσοφίας τῆς ἀνωτάτω, παντὶ γνώριμον τῷ καὶ μικρὸν ἐπιστήσαντι. Καὶ γὰρ πολλοῖς μὲν ἄλλοις βίβλοι πολλαί τε καὶ ὠφέλιμοι ἐξειργάσθησαν, κάλλει τε καὶ φράσει ὑπερφερεῖς· ἀλλὰ πείθομαι μὴ τοσοῦτον ἀπ᾽ ἄλλης φωτισμοῦ οὕτω πληροῦσθαι καὶ κατανύξεως τὴν ψυχήν, ὅσων ἀπὸ τῶν τοῦ Πατρὸς Κατηχήσεων, πολὺ τὸ ἐπαγωγὸν μετὰ τοῦ ἡδέος ἐμφαινουσῶν, καὶ μετὰ τοῦ ὠφελίμου τὸ

(¹) Ὁ πίναξ τῶν κατηχιτικῶν λόγων παρὰ Φαβρικ. Bibl. Gr. T. X. p. 451-470. Πληρέστερος πίναξ ἐν τῇ Βιβλ. τοῦ Τουρίνου (Cod. Tauriniensis 327. Catal. p. 405-410. 174). Ὁ Μιγγαρέλης δείκνυσιν ἐν τοῖς ἀπόγρ. τῆς Ναννιανῆς Βιβλιοθ. (Catal. cod. Nanian. Bibl. p. 68-87) ἓν (ξα΄.), ἐν ᾧ περιέχονται σνδ΄ Κατηχ., παρὰ δὲ τῷ Φαβρικίῳ ση΄. Πρβλ. Iriate in Catal. cod. Gr. Matriti p. 5-19. Ἡ Μικρὰ Κατηχητικὴ ἐξεδ. λατιν. in B. Patr. Paris. 1644. Lugd. 1677. Ὁ Μιγγαρέλης (Catal. Nanian. Bibl. p. 88-100. 126-131) περιέγραψε δύο ἀπόγραφα τῆς Μικρᾶς Κατηχητικῆς (μετὰ ρλε΄ κατηχήσ.) καὶ ἐξέδωκε (p. 164) ἑλληνιστὶ τρεῖς αὐτῶν.

χαριέστατον». Ἅπαντες οἱ κατηχητικοὶ λόγοι εἰσὶ πάνυ βραχεῖς. Ἐν αὐτοῖς οὐχ ὑπάρχει μὲν ἡ εὐφράδεια τοῦ Χρυσοστόμου, ἢ τοῦ Βασιλείου, ἀλλ᾽ εἰσὶν ἰσχυροὶ τὴν εἰλικρίνειαν. Πλὴν τῆς ἠθικῆς ὠφελείας ἥτε Μεγάλη καὶ ἡ Μικρὰ Κατήχησις περιέχουσι πολλὰ πάνυ χρήσιμα τῷ ἱστορικῷ τῆς Ἐκκλησίας καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας.

Ἡ πανηγυρικὴ βίβλος, ἔνθα τὰς περιφανεῖς τοῦ Δεσπότου διέξεισιν ἑορτὰς καὶ λόγοις εὐγενέσι κοσμεῖ· οὐ μόνον δέ, ἀλλὰ καὶ τῆς Θεομήτορος καὶ τοῦ Προδρόμου ὡσαύτως καὶ Βαπτιστοῦ, καὶ τῶν Ἀποστόλων, ἐστὶ γνωστὴ ἐκ τῶν ἐκδόσεων μόνον ἐν τεμαχίοις.

Εἰς ταῦτα ἀνάγονται: α᾽) ἐπιστολαί τινες ἰδίως δὲ αἱ γραφεῖσαι ἕνεκα τοῦ ἐν τῇ αὐτοκρατορικῇ αὐλῇ τελεσθέντος παρανόμου γάμου. Πρὸς Θεόφιλον τὸν Ἐφέσου, αἰτοῦντα τὴν θανατικὴν ποινὴν διὰ τοὺς Μανιχαίους, ἔγραψε: «Τί φής, ὦ Θεοτίμητε; Ὁ Κύριος ἀπηγόρευσεν ἐν τοῖς Εὐαγγελίοις τούτοις, εἰπών: Οὔ, μήποτε συλλέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. Ἄφετε συναυξάνεσθαι μέχρι τοῦ θερισμοῦ. Καὶ αὐτὸς τὸ κάλλιστον τὸ μέγιστον φαίης εἶναι τὴν ἐπιτροπὴν τῆς ἐκριζώσεως; Καὶ ὅτι τὰ ζιζάνια τοὺς αἱρετικοὺς εἴρηκε, τούς τε τηνικαῦτα δηλονότι, καὶ τοὺς ὑφ᾽ ἑτέρων, ἤγουν ἅπαντας, ἀκουσώμεθα τοῦ Χρυσοστόμου αὐτὸ τοῦτο ἑρμηνεύοντος . . . . Ὥστε, καθά φησιν ὁ θεοφάντωρ Διονύσιος πρός τινα Δημόφιλον, οὐκ ἀποδεξόμεθά σου τὰς ἀζηλώτους ὁρμάς, οὐδ᾽ εἰ μυριάκις ἐπαναλάβοις τὸν Φινεὲς καὶ τὸν Ἠλίαν. Ταῦτα γὰρ ἀκούοντα τὸν Ἰησοῦν, οὐκ ἤρεσκον οἱ τοῦ πρᾳέος τούτου καὶ ἀγαθοῦ πνεύματος ἀμέτοχοι μαθηταί. Καὶ γὰρ καὶ ὁ θειότατος ἡμῶν ἱεροθέτης ἐν πρᾳότητι διδάσκει τοὺς ἀντιδιατιθεμένους τῇ διδασκαλίᾳ τοῦ Θεοῦ. Διδάσκεσθαι γάρ, οὐ τιμωρεῖσθαι χρὴ τοὺς ἀγνοοῦντας . . . . Οὕτως οὖν, ὦ Δέσποτα, ἡμεῖς οἱ εὐτελεῖς φρονοῦμεν· καί γε, ἵνα ἐν ἀφροσύνῃ εἴποιμεν, καὶ παρρησίᾳ λελαλήκαμεν τῷ μὲν μακαριωτάτῳ ἡμῶν Πατριάρχῃ, ὅτι μαχαίρᾳ ἡ Ἐκκλησία οὐκ ἐκδικεῖ, καὶ κατένευσε, τοῖς δὲ τὴν σφαγὴν δράσασι βασιλεῦσι, τῷ μὲν πρώτῳ, ὅτι οὐκ ἠρέσθη Θεὸς ἐπὶ τῇ τοιαύτῃ ἀναιρέσει, τῷ δὲ δευτέρῳ ἀπαιτοῦντι τὴν συνηγορίαν τῆς

ἀναιρέσεως, ὅτι πρότερον ἡ κεφαλή μου αἴρεται, ἤπερ συνθέσθαι με τούτῳ. Ταῦτα δὴ παρ' ἡμῶν τῶν ἁμαρτωλῶν. Ὑμεῖς δέ, ἁγιώτατοι, εἰ ἕτερον Εὐαγγέλιον ἀνέγνωτε, ὅπερ ἡμεῖς οὐκ ἴσμεν, εὖ ἂν ἔχοι· εἰ δὲ μή, σκοπήσατε τί ὁ Ἀπόστολος ἀποφαίνοιτο» [1]. β') αἱ ἀσκητικαὶ αὐτοῦ μελέται [2].

§. 270. Ὕμνοι καὶ Τυπικόν.

Πλὴν τῶν ἐπιγραμμάτων καὶ τῶν ἰαμβικῶν στίχων [3] ἔγραψεν ὁ θεῖος Πατὴρ καὶ Τριῴδια μετὰ στιχηρῶν ταχθέντα ἐν τῷ Τριῳδίῳ τῆς Μεγάλης Τεσσαρακοστῆς [4].

---

(1) Ἐπιστ. Βιβλ. Β'. ἐπ. ρνε'.

(2) Κεφάλαια Δ' περὶ τῆς ἀσκητικῆς ζωῆς ἐκδοθ. ὑπὸ Πέτρου Ποσσίνου in Thesauro ascetico, Paris. 1684, 4. Σχόλιον εἰς τὰ μερικὰ ἀσκητικὰ τοῦ μεγάλου Βασιλείου ἐκδοθ. ὑπὸ Ματθαίου Fabric. Bibl. Gr. T. X. p. 472). Σωτηρίας σύντομος διδασκαλία, ἧς ἡ ἀρχή: χριστιανός, μᾶλλον δὲ μοναχὸς ἐὰν ὀμνύῃ, βλ. Mathaei Not. Mss. Mosquens. Synod. pag. 17.

(3) Ὁ Μιχαὴλ λέγει: «Συνετέθη δὲ αὐτῷ καὶ βίβλος διὰ στίχων ἰάμβων τήν τε πλάσιν τοῦ γενάρχου διαλαμβάνουσα καὶ παράβασιν, καὶ φθόνον τοῦ Κάϊν, καὶ χεῖρα, φεῦ, κατὰ τοῦ ἀδελφοῦ ἐπανατεινομένην, καὶ φόνον ἐργαζομένην τὸν ἀδικώτατον. Καὶ μέντοι πάλιν καὶ τοῦ Ἐνὼχ εὐαρέστησιν, καὶ τοῦ Νῶε καὶ τῶν ἐξ αὐτοῦ δὲ φύντων γέννησιν, βίον, διαγωγήν. Ἀπαριθμήσατο δὲ ἐν αὐτῇ καὶ πᾶσαν τὴν τῶν εἰκονομάχων αἵρεσιν, οὓς καὶ ὡς κακῶν σπουδάρχας, τῷ ἀναθέματι καθυπέβαλε. (Μένουσιν ἐν τοῖς χειρογρ. τῆς Βιβλ. τοῦ Τουρίνου Reletiones de libris novis 1758, T. II. p. 167). Ὑπ' αὐτοῦ συνετέθη καὶ δι' ἰάμβων ὕμνος εἰς τὸν Πρόδρομον. Τὰ ἐπιγράμματα καὶ οἱ ἴαμβοι ἐξεδόθ. ὑπὸ Σιρμόνδου σελ. 753-756.

(4) Ἐν τῷ νῦν Τριῳδίῳ τῆς Μ. Τεσσαρακ. εἰς τὸν ἅγιον Θεόδωρον ἀνήκουσι α') οἱ κανόνες μετὰ τῶν στιχηρῶν αα) εἰς τὸ Σάββατον πρὸ τῆς Ἀπόκρεω μετὰ τῆς ἀκροστιχίδος: τοῦ ἀναξίου Θεοδώρου· ββ) εἰς τὴν Κυριακὴν τῆς Ἀπόκρεω· γγ) εἰς τὸ Σάββατον τῆς Τυρινῆς δδ) εἰς τὴν Κυριακὴν τῆς Σταυροπροσκυνήσεως· β') τὰ Τριῴδια εἰς ἁπάσας τὰς ἡμέρας (ἐξαιρουμένης τῆς Ἑβδομάδος τῶν Παθῶν τοῦ Κυρίου), καθ' ἃς ὡρίσθησαν δύο Τριῴδια. Τούτων τα δεύτερα ἀνήκουσιν εἰς τὸν ἅγιον Θεόδωρον (βλ. περὶ Ἰωσὴφ τοῦ Στουδίτου). Τῶν Τριῳδίων τοῦ ἁγίου Θε-

Κατανυκτικώτατα τὰ Στιχηρὰ αὐτοῦ εἰς τὸ Σάββατον τῆς Ἀπόκρεω: « Δεῦτε πρὸ τέλους πάντες, ἀδελφοί, τὸν χοῦν ἡμῶν βλέποντες, καὶ τῆς φύσεως ἡμῶν τὸ ἀσθενές, καὶ τὴν εὐτέλειαν ἡμῶν, καὶ τὸ τέλος ὀψώμεθα, καὶ τὰ ὄργανα τοῦ σκεύους τῆς σαρκός· καὶ ὅτι κόνις ὁ ἄνθρωπος, βρῶμα σκωλήκων καὶ φθορά· ὅτι ξηρὰ τὰ ὀστᾶ ἡμῶν, ὅλως μὴ ἔχοντα πνοήν· τοὺς τάφους κατίδωμεν· ποῦ ἡ δόξα; ποῦ τὸ κάλλος τῆς μορφῆς; ποῦ ἡ εὔλαλος γλῶσσα; ποῦ ἡ ὀφρύς; ἢ ποῦ ὁ ὀφθαλμός; πάντα κόνις καὶ σκιά· διὸ φεῖσαι, Σωτήρ, πάντων ἡμῶν». « Τί ἀπατᾶται ἄνθρωπος αὐχῶν; τί μάτην ταράττεται, ὁ πηλός, καὶ μετ᾿ ὀλίγον ὁ αὐτός; τί οὐ λογίζεται ὁ χοῦς, ὅτι κόνις τὸ φύραμα, καὶ σαπρίας καὶ φθορᾶς ἀποβολή; Εἰ οὖν πηλός ἐσμεν, ἄνθρωποι, τί προστετήκαμεν τῇ γῇ, καὶ εἰ Χριστοῦ ἐσμεν σύμφυτοι, τί οὐ προστρέχομεν αὐτῷ, καὶ ὅλην ἀφέμενοι τὴν ἐπίκηρον καὶ ῥέουσαν ζωήν, τῇ ζωῇ τῇ ἀφθάρτῳ ἀκολουθοῦντες; ἥτις ἐστὶν ὁ Χριστός, ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν » (¹).

Ὁ Κάλλιστος λέγει, « Θεόδωρός τε καὶ Ἰωσὴφ οἱ Στουδῖται, κατὰ ζῆλον ἐκείνου (τοῦ ἁγίου Κοσμᾶ), κἀν ταῖς λοιπαῖς Ἑβδομάσι τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς συνταξάμενοι τῇ αὐτῶν μονῇ τοῦ Στουδίτου πρῶτον παραδεδώκασιν, ἐπὶ μᾶλλον τὰς ᾠδὰς κατατάξαντες καὶ ῥυθμίσαντες, καὶ τ᾿ ἄλλα τοῦ βιβλίου (τοῦ Τριῳδίου), ὅθεν δήποτε παρὰ τῶν Πατέρων ἀθροίσαντες καὶ ἐρανισάμενοι». Ἐὰν ἐκληφθῇ ἡ γνώμη τοῦ Καλλίστου ὡς ἀληθής, ὅτις δηλονότι οἱ ἀδελφοὶ Στουδῖται συνέταξαν τὸ τριώδιον, τότε παρατηροῦμεν α´) ὅτι εἰς αὐτὸ εἰσήχθησαν μετὰ ταῦτα τὰ Συναξάρια αὐτοῦ τοῦ Καλλίστου· ὁ δὲ Μεταφραστὴς ἔγραψε τὸν κανόνα εἰς τὸ Ἀπόδειπνον τῆς Μεγ. Παρασκευῆς. Οὐδὲν δὲ λέγομεν περὶ τοῦ Θεοφάνους. β´) Τῷ ἁγίῳ Θεοδώρῳ ἀποδοτέον πλὴν τῶν Κανόνων καὶ τῶν Στιχη-

---

οδώρου ποιεῖται μνείαν ὁ Μιχαήλ. Ὁ τῷ Λαμβεσίῳ γνωστὸς ἐκ χειρόγρ. τῆς Βιεν. Βιβλ. (cod 299. p. 6. Comm. V. p. 45) κατανυκτικὸς κανὼν Θεοδώρου τοῦ Στουδίτου εἰς τὸν Κύριον Ἰησοῦν, οὗ ἡ ἀρχή: Ὥσπερ ἐκ τάφου σεαυτὸν ἐξήγειρας θείᾳ δυνάμει σου, οὐχ ὑπάρχει ἐν τοῖς ἄχρι τοῦ νῦν ἐκδεδομένοις κανόσι.

(¹) Ἐκ τοῦ Τροπαρίου εἰς πάντας τοὺς ἀπ᾿ αἰῶνος κεκοιμημένους παράγονται λέξεις περὶ προορισμοῦ ἐν χειρογρ. ap. Bandin Catal. cod. gr. Lavrentii p. 295.

ρῶν τοὺς ἐν αὐτῷ Εἱρμοὺς τῶν Κανόνων προγενεστέρου χρόνου, οἷος ὁ μέγας Κανὼν Ἀνδρέου τοῦ Κρήτης (1), καὶ τοὺς Ὕμνους εἰς τὸν Ἐνταφιασμὸν τοῦ Σωτῆρος τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ (2).

Ὁ μαθητὴς τοῦ ἁγίου Πατρὸς γράφει : « Ἐξέθετο μέντοι καὶ παραγγελίας ἐγγράφους διὰ στίχων ἰάμβων πῶς ἑκάστῳ μέλλον ἐστὶ τὰ ἐπιτεταγμένα πληροῦν. Μᾶλλον δὲ τῶν στίχων ὑπηγορία ἀπ᾽ αὐτοῦ ἦρκται τοῦ ἡγουμένου, καὶ καθεξῆς ἅπαντας διϊοῦσα, μέχρι καὶ τοῦ πάντων ὑστάτου. Διωρίσατο δὲ καὶ τίσιν ἐπιτιμίοις, ἢ ἀφορισμοῖς, ἢ γονυκλισίαις τοσαῖσδε, ὁ τῶν θείων ὕμνων καθυστερῶν ὑπαχθήσεται, ἢ ὁ σκεῦος συντρίβων, ἢ εἰκαίως ῥίπτων καὶ παραμελῶν· ἢ ὁ τὸν ἀδελφὸν ἔν τινι διαπληκτίσας, ἢ ὁ λόγον περιττὸν περιττῶς ὁμιλῶν, καὶ μὴ γλώσσης εἰδείη κρατεῖν. Τούτοις πᾶσιν ἀναλόγως τοῖς πραττομένοις καὶ τὰς ἐπιτιμίας προσέθηκεν· ὥστ᾽ ἔχειν τοὺς παρὰ τοῦ Πατρὸς καταστάντας ἀρχηγοὺς ἔργον ὅτι μάλιστα τοῦτο καὶ σπούδασμα, πάντα διασκοπεῖν τὰ τῶν ἀδελφῶν, πάντα ἀνερευνᾷν, πᾶσι δεόντως προσφέρεσθαι· συνεφάπτεσθαι δὲ καὶ τὸν μέγαν τοῦ κόπου αὐτοῖς, ἅτε καὶ μᾶλλον αὐτὸν τὰ πάντων ἐπηχθησμένον· καὶ εἶναι οἷόν τινα κυβερνήτην ὑψοῦ καθήμενον, καὶ τῶν ἀνέμων ἐπιτηροῦντα τὰ πνεύματα· ἢ στρατηγὸν ἄριστον, ἁπάντων ὑπερπονοῦντα καὶ κινδυνεύοντα, καὶ δοκιμὴν ἁπάντων λαμβάνοντα . . . . » (§. λϐ΄.).

Ἐννοεῖται, ὅτι ὁ Μιχαὴλ ὁμιλεῖ περὶ τοῦ Τυπικοῦ τοῦ ἁγίου Πατρός. Νῦν ὑπάρχουσι γνωστὰ ἐκ τῶν χειρογράφων τὰ ἑξῆς περὶ εὐταξίας συγγράμματα αὐτοῦ : α΄) Ὑποτύπωσις καταστάσεως τῆς Μονῆς τοῦ Στουδίου (3)· ϐ΄) ἐπιτίμια κοινὰ τῆς ὅλης ἀδελφότητος· γ΄) ὅρος περὶ τῆς ἑβδομάδος τῆς Τυροφάγου (4).

(1) Τοῖς μοναχοῖς τοῦ ἁγίου Μαύρου ἦν γνωστὸν Εἱρμολόγιον Θεοδώρου τοῦ Στουδίτου, δηλ. οὐ νέον τι σύγγραμμα, ἀλλὰ συλλογὴ τῶν Εἱρμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ μετὰ προσθήκης νέων.

(2) Ἐν τοῖς χειρογράφοις τῆς Βοδλην. Βιϐλ. σώζονται 75 Ἀναβαθμοί, ποίημα Θεοδώρου τοῦ Στουδίτου μετὰ ἑρμηνείας ἀγνώστου.

(3) Ἐν χειρογρ. τῆς Μαδρίτης. Fabric. Bibl. gr. T. X. p. 473 [Τὸ σύγγραμμα τοῦτο ἐξεδόθη ὑπὸ Μαΐου in Bibl. nov. T. IV, καὶ ὑπὸ Μιγνίου Patr. Gr. T. XCIX. col. 1730-1720. Σ. Μ.].

(4) Ἐν τῇ Βιεν. Βιϐλ. cod. 430.

Τὸ τοῦ Στουδίου ἐκκλησιαστικὸν Τυπικὸν διέφερε τῶν ἄλλων α΄) κατὰ τὸ ὅτι οὐδὲ διὰ μίαν ἡμέραν ὡρίσθησαν ὑπ' αὐτοῦ παννύχιοι ἀγρυπνίαι· β΄) κατὰ τὸ ὅτι οὐδὲ διὰ μίαν ἡμέραν ὡρίσθη ὑπ' αὐτοῦ Μεγάλη Δοξολογία· γ΄) κατὰ τὸ ὅτι «ἀπὸ τῆς κς΄ Ὀκτωβρίου μέχρι τέλους τῆς Τεσσαρακοστῆς ἀναγινώσκονται, κατ' αὐτό, ἐν τῷ ὄρθρῳ τρία ἀναγνώσματα, ἀπὸ δὲ τῆς Κυριακῆς τῶν Ἁγίων πάντων μέχρι τῆς κς΄ Σεπτεμβρίου δύο». Οὕτως ἔγραφεν ὁ Νίκων κατὰ τὸν ια΄ αἰῶνα, ὃς εἶχε μετὰ χεῖρας ἀκριβὲς ἀπόγραφον τοῦ Τυπικοῦ τοῦ Στουδίου, ὅπερ, ὡς λέγει, ἀντὶ πολλοῦ κόπου ἠδυνήθη εὑρεῖν. Ὁ Πατριάρχης Ἱεροσολύμων Νεκτάριος ἐσημείωσεν ἔτι, ὅτι ἐν τῷ Τυπικῷ τοῦ Στουδίου ὡρίσθη ἡ ἀνάγνωσις Κανόνων τῶν Πατέρων τοῦ Στουδίου (1).

§. 271. Ἰωσὴφ ὁ Θεσσαλονίκης Ἀρχιεπίσκοπος.

Ἰωσήφ, αὐτάδελφος τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου, Ὁμολογητὴς καὶ Ἀρχιεπίσκοπος Θεσσαλονίκης. Τὴν ἐγκύκλιον ἐν τῷ οἴκῳ τῶν γονέων παιδευθεὶς παιδείαν, ἐκτήσατο ἐν τῇ ἐρήμῳ τὴν πρακτικὴν ἐκείνην σοφίαν, ἥτις καὶ ἐν μέσῳ τῶν ἰσχυρῶν πειρασμῶν ἀπαλλάττει τὴν ψυχὴν τῶν πτώσεων. Τῷ 809 ὁ Ἰωσήφ, κατακρίνας μετὰ τοῦ αὐταδέλφου τὸν παράνομον γάμον τοῦ Αὐτοκράτορος Κωνσταντίνου, ἀπήχθη ἐκ Θεσσαλονίκης βασιλικῇ κελεύσει εἰς Κωνσταντινούπολιν, ἐπιέσθη λιμῷ καὶ τέλος ὑπερωρίσθη εἰς ἄφορον νῆσον, ἔνθα καθείρχθη ἐν δεσμοτηρίῳ (2). Κατηγορησάντων τινῶν αὐτὸν ἁρπαγῆς τοῦ ἀξιώματος ἀπελογήσατο ὑπὲρ ἑαυτοῦ ὧδε: . . . «Ὅσον τὸ καθ' ἡμᾶς, οὐκ ἐβουλόμεθα, τὸ μὲν διὰ τὸ ἐπικίνδυνον τοῦ ἀξιώματος, τὸ δὲ δι' αὐτὸ ἤδη τὸ λεγόμενον τοῦ οἰκονόμου. Ἐπεὶ δὲ ἐληλύθαν οἱ Θεσσαλονικεῖς, ἱκετεύοντες ὡς ἐκ πάσης τῆς πόλεως, οἵ τε δεσπόται ἡμῶν οἱ ἀγαθοὶ συνεπιτιθέμενοι τῷ ψηφίσματι· δέος ἡμῖν ἐγένετο μὴ ὑπακοῦσαι, καὶ ἀντιφέρεσθαι Θεῷ τε καὶ τοῖς εὐσεβέσιν ἡμῶν δεσπόταις, λογισάμενοι ὅτι δυνατόν ἐστιν, ἡνίκα ὑπὸ τῶν οἰκείων ἐπισκόπων ἡ χειροτονία γίνεται, φυγεῖν τὸν προειρημένον κίνδυνον. Πρὸς γὰρ τὸ μετὰ ταῦτα· τὸ μὲν ὅτι πόρρω

(1) Ἐπιτ. τῆς Ἱερος. Ἱστορ. σελ. 175. Ἐνετ. 1677.

(2) Κεδρην. Συν. Ἱστορ. σελ. 836.

τῶν ἐνταῦθα ἀποικίζεται· τὸ δὲ ὅτι ἐγχωρεῖ καὶ ἐπιδημοῦντα φυλάττεσθαι κατὰ πολλοὺς τρόπους . . . . Διὰ ταῦτα ὡς ἐπὶ μάρτυρι Θεῷ ἐπιδεδώκαμεν ἑαυτούς, δοκοῦντες, ἵνα καὶ τοῦτο εἴπωμεν, μηδὲ ἠγνοημένον εἶναι πάντως τοῖς εὐσεβέσιν ἡμῶν δεσπόταις, εἰδόσι τὰ πόρρω καὶ μακρὰν δι' ἄκραν ἀγχίνοιαν· ἀλλὰ μὴν οὐδὲ αὐτῷ τῷ ἁγιωτάτῳ Πατριάρχῃ, ἐπεὶ κἀκείνῳ τηνικαῦτα γεγράφαμεν τὴν ὑπόθεσιν· ὡς ἡμεῖς γε τούτου χάριν ὑπὲρ τοῦ μὴ κοινωνῆσαι τῷ στεφανώσαντι τὸν μοιχόν, καὶ τῷ προηγησαμένῳ Πατριάρχῃ, ἡνίκα μόνον μετεδίδου αὐτῷ, διαφόρως τὴν ἐξορίαν ὑπέστημεν . . . Αὕτη ἐστιν ἡ ἀπολογία· καὶ ταύτην, ὡς κελεύεις, ἀνάγαγε τῷ εὐηκόῳ αὐτῶν κράτει» [1]. Ὁ Θεόδωρος ἔγραψε τῷ δεσμίῳ αὐταδέλφῳ: «Οὐκ ἂν ἁμάρτοιμι στύλον καὶ ἑδραίωμα κεκληκώς σε τῆς Ἐκκλησίας, κάλλιστέ μου ἀδελφέ. Πᾶς γὰρ ὁ ὑπὲρ ἀληθείας ἐνιστάμενος καὶ πάσχων, ἔρεισμα καὶ ὕψωμα αὐτῆς τυγχάνει» [2]. Μιχαὴλ ὁ Κουροπαλάτης ἐπέτρεψε (τῷ 811) τῷ Ἰωσὴφ καὶ ἄλλοις, ἐπανελθεῖν ἐκ τῆς ἐξορίας [*]. Λέων δὲ ὁ Ἀρμένιος ἠνάγκασεν αὐτόν τε καὶ τὸν αὐτάδελφον κρυβῆναι ἐν τῷ ἀρχαίῳ ναῷ τοῦ ἁγίου Ρωμανοῦ, ἔνθα, ὡς λέγει ὁ Κωδηνός [3], ἐποίησαν τοὺς κανόνας αὐτῶν· ὁ Λέων ὑπέβαλε τοὺς ἀδελφοὺς ἀνυπίστοις βασάνοις, καὶ καθεῖρξε τὸν Ἰωσὴφ ἐν ζοφώδει δεσμωτηρίῳ. Μετά τινα χρόνον ὁ Αὐτοκράτωρ ᾔτησεν ὑπογράψαι αὐτοὺς τῇ εἰκονομάχῳ τῆς πίστεως ὁμολογίᾳ. Ἀρνησαμένου δὲ τοῦ Ἰωσήφ, καθεῖρξαν αὐτὸν ἐν ἑτέρᾳ πολλῷ ζοφωδεστέρᾳ εἱρκτῇ, ἐξέτηκον αὐτὸν λιμῷ καὶ δίψῃ, καὶ ἀπανθρώπως ἐμαστίγουν αὐτόν. Μιχαὴλ ὁ Τραυλὸς ἠλευθέρωσε (τῷ 820) τὸν Ἰωσὴφ καὶ ἄλλους τῆς ὀρθοδοξίας προμάχους. Τῷ 824 ἐνεταφίασεν ὁ Ὁμολογητὴς τὸν ἐπίσημον Ὁμολογητὴν Νικήταν [4]. Ὁ ποιμὴν τῆς Θεσσαλονίκης κατέλυσε τὸν βίον ἐν τῇ Μονῇ τοῦ Στουδίου, πιθανῶς τῷ 830ῷ σωτηρίῳ ἔτει [5].

---

(1) Ἐπιστ. (ἐν ταῖς ἐπ. Θεοδ. τοῦ Στουδίτου, βιβλ. Ά. ἐπ. κγ'.) Συμεὼν μονάζοντι.

(2) Βιβλ. Ά. ἐπ. μγ'. Ὁ Θεόδωρος ἔγραψεν ἔτι δέκα ἐπιστολὰς αὐτῷ.

(*) Ζωναρ. Τ. Β' σελ. 126.

(3) Ἀρχ. Κωνσταντινουπ. §. 10.4.

(4) Περὶ τούτου γράφει ὁ μαθητὴς τοῦ ἁγίου Νικήτα Θεοστήρικτος.

(5) Περὶ τοῦ β. αὐτοῦ βλ. Μηνολ. Βασιλείου, Act. Sant. ad 14 Julii, p. 710-711. ad 4 et 11 Febr p. 546-561. Ἡ μνήμη αὐτοῦ τῇ 14 Ἰουλίου.

Ὁ ὑπὲρ τῶν ἁγίων Εἰκόνων Ὁμολογητὴς ἔγραψε λόγους τινάς, ἐν οἷς ὁ ἄριστός ἐστιν ὁ εἰς τὴν Ὕψωσιν τοῦ τιμίου Σταυροῦ τοῦ Κυρίου(1). Μᾶλλον δ' ἐστι γνωστὸς ὁ Ἰωσὴφ ἐκ τῶν ἐκκλησιαστικῶν ὕμνων. Κατὰ ἀπόγραφα τοῦ Τριῳδίου, ἀνήκοντα τῷ ια' αἰῶνι, τὸ ὄνομα τοῦ Ἰωσὴφ ὑπάρχει ἐν ἐκείνοις τοῖς τριῳδίοις ἐκ τῶν δύο καθημερινῶν τοῦ τῆς Μεγάλης Τεσσαρακοστῆς Τριῳδίου, ἅτινα κατέχουσι τὴν πρώτην θέσιν, ἐξαιρουμένων ἐν τούτοις τῶν τριῳδίων τῆς Ἑβδομάδος τῶν Παθῶν τοῦ Κυρίου (2). Εἰς αὐτὸν ἀνήκουσι καὶ στιχηρά τινα εἰς ταύτας τὰς ἡμέρας. Τὰ τριῴδια καὶ τὰ στιχηρὰ τοῦ Ἰωσὴφ τὸ μὲν περιέχουσι κατανυκτικὴν εὐχὴν εἰς τοὺς Ἀγγέλους, τὸν Πρόδρομον, τὴν Θεομήτορα, τοὺς Ἀποστόλους καὶ τὸν ἅγιον Νικόλαον περὶ τοῦ διεῖλθεῖν ἁγίως τὰς ἡμέρας τῆς νηστείας, τὸ δὲ διαγράφουσι τὸ πνεῦμα αὐτῆς (3). Οἱ ὕμνοι τοῦ Ἰωσήφ, κατ' ἐξοχὴν ὁ κανὼν εἰς τὴν Κυριακὴν τοῦ ἀσώτου, εἰσὶ πάνυ πρόσφοροι ταῖς ἡμέραις τῆς νηστείας, ἅτε δὴ ἀποπνέοντες βαθεῖαν κατάνυξιν ἐπὶ ταῖς ἁμαρτίαις (4).

---

(1) Ἐξεδόθη ὑπὸ Κρετσέρου *de Cruce* T. II. p. 166. ἐν τοῖς συγγράμμασι τοῦ θείου Χρυσοστόμου T. É. σελ. 619. ed Savilii. Πρβλ. Montfauc. Bibl. Coislin. p. 401. Ἔγραψεν ἔτι: α) Λόγον εἰς τὸν μεγαλομ. Δημήτριον τὸν Θεσσαλονικέα (ἐν τοῖς χειρογρ. τῆς ἐν Μόσχᾳ συνοδ. Βιβλ. τοῦ ια' αἰῶνος. Nο 162 (113). β) Λόγον εἰς τὴν Ἀνάστασιν τοῦ Λαζάρου (Fabric. Bibl. Gr. T. X. 302). γ) ἐπιστ. Συμεὼν τῷ μονάζοντι (ap. Baron. ad an. 808. §. 22). δ) Ἰάμβους κατὰ τῶν Εἰκονομάχων, ὧν μνείαν ποιεῖται ὁ Θεόδωρος (ἐπ. Β. λα'.).

(2) Οὕτω μαρτυρεῖ ὁ Καρδινάλιος Κουΐρῖνος, ἰδὼν τὰ ἀρχ. χειρόγραφα (Ep. Cardin. Quirini ed. a Coletti, Venet. 1756. p. 159.

(3) Ἐν τοῖς χειρογρ. τῆς Βιέννης (cod. Theol. 299) ὑπάρχει κανὼν Ἰωσὴφ τοῦ Στουδίτου εἰς τὴν δευτέραν παρουσίαν τοῦ Χριστοῦ, οὗ ἡ ἀρχή: χαίρει χορὸς τῶν σῶν ἁγίων Κύριε. Ἐν τοῖς ἐκδεδομ. καν. οὐχ ὑπάρχει ὁ κανὼν οὗτος, ἀλλὰ πιθανῶς ὡρίσθη διὰ τὴν ἑβδομάδα τῆς Ἀπόκρεω.

(4) Βεβαίως τὸν κανόνα τοῦτον εἶχεν ὑπ' ὄψει ὁ σύγχρονος τῷ Ἰωσὴφ Π. Νικηφόρος, λέγων: « Δεῖ τὸν ἀθετοῦντα μοναχὸν τὸ ἅγιον σχῆμα, καὶ πάλιν ἐπιστρέφοντα, κατηχεῖσθαι ὑπὸ τῶν ἀδελφῶν τὰ δέοντα.... καὶ ψάλλειν τὸν κατανυκτικὸν Κανόνα τοῦ πλαγίου ἤχου».

§. 272. Μιχαὴλ ὁ Σύγκελλος.

Μιχαὴλ πρεσβύτερος καὶ Σύγκελλος τοῦ Πατριάρχου τῶν Ἱεροσολύμων Θωμᾶ (τῷ 830) ([1]), μετέβη, κατ᾽ ἐντολὴν τῆς ἐν Ἱεροσολύμοις περὶ τὸ 810 συγκροτηθείσης συνόδου, εἰς Ἀρμενίαν παραινέσων τοῖς ἐκεῖ Παυλικιανοῖς ἀποστῆναι τῶν πλανῶν αὐτῶν ([2]). Κατὰ τὸν χρόνον ταύτης τῆς πρεσβείας ἦν ἀναμφιβόλως καὶ ἐν Ἐδέσσῃ μετὰ παρομοίου σκοποῦ ὡς πρὸς τοὺς ἐν Μεσοποταμίᾳ Μονοφυσίτας καὶ Νεστοριανούς ([3]). Τῷ 817 ἐπέμφθη ὑπὸ τοῦ Πατριάρχου εἰς Κωνσταντινούπολιν παρακαλέσων τον Αὐτοκράτορα Λέοντα τὸν Ἀρμένιον μὴ καταδιώκειν τὴν Ὀρθοδοξίαν([4]). Ὁ Λέων ἐβασάνισε καὶ ὑπερώρισεν αὐτόν([5]). Ὁ ὅσιος Θεόδωρος ὁ Στουδίτης ἐκ τῆς φυλακῆς ἔγραψε πρὸς αὐτόν: «. . . Ἀλλ᾽ ὅτι ἐκ μιᾶς μητρὸς τῆς υἱοθεσίας γεγενημένοι, καὶ τῷ αὐτῷ χαρακτῆρι τῆς εἰλικρινοῦς πί-

---

([1]) Περὶ αὐτοῦ ποιοῦνται λόγον ὁ Σκυλίτζης καὶ ὁ Κεδρηνός. Βλ. καὶ Μην. ιη´ Δεκεμβρ.

([2]) Ἡ ἐπιγραφὴ τῆς ἐπιστολῆς ἐν συνοδ. χειρογρ. (cod. Topogr 32): «Ἐπιστολὴ περιέχουσα τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, πεμφθεῖσα παρὰ τοῦ μακαρίου Παπᾶ Θωμᾶ, Πατριάρχου Ἱεροσολύμων, πρὸς τοὺς κατὰ τὴν Ἀρμενίαν αἱρετίζοντας, ἀραβιστὶ μὲν ὑπὸ Θεοδώρου τοῦ τὸ ἐπίκλην Ἀβουκαρᾶ, τοῦ Καρρῶν ἐπισκόπου γεγονότος, ὑπαγορευθεῖσα, διὰ δὲ Μιχαὴλ πρεσβυτέρου καὶ Συγκέλλου ἀποστολικοῦ θρόνου μεταφρασθεῖσα, μεθ᾽ οὗ καὶ ἀπέσταλται, μόνην, ἀληθινήν, καὶ κατὰ τὸν ὅρον ἐν Χαλκηδόνι οὖσαν τὸν περὶ τῆς εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστεως ὁρισθέντα λόγον». Mathaei Describt. Synod. Biblioth. p. 291.

([3]) Ἡ ἐπιγραφὴ τοῦ συγγράμματος αὐτοῦ: «Μιχαὴλ πρεσβυτέρου καὶ Συγκέλλου τοῦ ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων μέθοδος περὶ τῆς τοῦ λόγου συντάξεως, σχεδιασθεῖσα ἐν Ἐδέσσῃ τῆς Μεσοποταμίας, αἰτήσει Λαζάρου διακόνου καὶ Λογοθέτου, φιλολόγου ὄντος» in Bibl. Coisl. cod. 175. p. 250. Fabric.Bibl. gr. T. VI. 133. 345.

([4]) Ὅτι ἦσαν πάνυ πολλοὶ Ἰακωβῖται καὶ Νεστοριανοὶ ἐν Μεσοποταμίᾳ, καὶ ὅτι παντὶ σθένει ἐσπούδασαν οἱ ὀρθόδοξοι πεῖσαι αὐτοὺς ἀποτάξασθαι ταῖς πλάναις αὐτῶν, δεικνῦσι τὰ συγγράμματα Θεοδώρου τοῦ Ἀβουκαρᾶ ἐπισκόπου Καρρῶν, πόλεως τῆς Μεσοποταμίας. Βλ. περὶ αὐτοῦ Fabr. Bibl. gr. T. X. p. 365. 371.

([5]) Βλ. Σκυλ. καὶ Κεδρην.

στεως μεμορφωμένοι, καὶ ἀδελφοί, καὶ συμπολῖται κεφαλὴν ἔχοντες τὸν Χριστόν· οὗπερ ὡς σῶμα τελοῦντες, καὶ μέλη ἐκ μέρους ὀφειλέται ἐσμὲν καὶ συγχαίρειν ἀλλήλοις ἐν τοῖς δεξιοῖς, καὶ ἀνιᾶσθαι αὖ ἐπὶ τοῖς λυπηροῖς. Ἀλλ' ὢ πῶς, ἀλλαχῆ ὡρμημένους ὑμᾶς πορεύεσθαι, ἠνάγκασεν ἡ φορὰ τοῦ καιροῦ ἐν ἄρχυσιν ἐμπεσεῖν τῶν τῇδε κρατούντων ; . . . Ἐμονώθης τοιγαροῦν, ὡς ἀκηκόαμεν, τμηθεὶς τῷ φρονήματι ἀπὸ τῶν ἀγαπησάντων τὸν νῦν αἰῶνα· ἀλλὰ συναιώθης πᾶσι τοῖς ἀνεχομένοις τοῦ τῆς ἀληθείας λόγου. Ἐντεῦθέν σε ὁ χορὸς τῶν μαρτύρων ὑπολαβεῖν βούλεται ὁλόκληρον· ἐκεῖθεν τῶν ὁμολογητῶν τὸ στίφος χεῖρα προτείνει ἑλεῖν ὁμόχρον . . . Πόσα ἂν ἔκαμες, ὥστε σου τὸ ὄνομα ἀκουστὸν ἐν ἀρετῇ γενέσθαι τοῖς ὧδε κἀκεῖσαι ; Νῦν δ' ὡς ἐπ' ὄρους ἀρετῶν διὰ τῆς ὁμολογίας ἀναβεβηκώς, ἐμφανὴς ἐγένου τῷ κόσμῳ, καὶ λαμπροφορεῖς ἡλίου φωτεινότερον σὺν τῷ λόγῳ καὶ τὸν βίον . . . . (1). Ὁ Θεόφιλος καθεῖρξεν αὐτὸν περὶ τὸ 835 ἐν δεσμωτηρίῳ καὶ ὠμότατα ἐβασάνισε (2). Μετὰ τὸν θάνατον τούτου παρεκάλεσε τὸν Μιχαὴλ ἡ Αὐτοκράτειρα Θεοδώρα ἀναλαβεῖν τὸ τῆς Πατριαρχίας ἀξίωμα· ἐπειδὴ δὲ ἠρνήσατο, ὁ μὲν ἅγιος Μεθόδιος προὐχειρίσθη Πατριάρχης, αὐτὸς δ' ἐδέξατο μίαν τῶν μονῶν τῆς πρωτευούσης εἰς ἰδίαν ἐξουσίαν καὶ ἀνάπαυσιν (3). Ὁ ἅγιος Ὁμολογητὴς ἐξεδήμησε πρὸς Κύριον τῷ 845ῳ πέντε καὶ ἑβδομήκοντα ἔτη γεγονώς (4).

Τὰ συγγράμματα τοῦ θείου ἀνδρὸς δεικνῦσιν, ὅτι ἦν πεπαιδευμένος, ἀλλ' ἔγραψεν οὐ πολλά.

Τὸ ἄριστον τῶν συγγραμμάτων αὐτοῦ ἐστιν ὁ Λίβελλος περὶ τῆς ὀρθοδόξου πίστεως. « Πιστεύω (οὕτως ἄρχεται τῆς ὁμολογίας αὐτοῦ ὁ ὅσιος) εἰς ἕνα Θεὸν Πατέρα ἀγέννητον, καὶ εἰς ἕνα Υἱὸν γεννητόν, καὶ εἰς ἓν Πνεῦμα ἅγιον ἐκπορευτόν, τρεῖς ὑποστάσεις τελείας, νοεράς, διαιρουμένας ἀριθμῷ καὶ ὑποστατικαῖς ἰδιότησιν, ἀλλ' οὐ Θεότητι. Διαιροῦνται γὰρ ἀδιαιρέτως καὶ συνάπτον-

(1) Ἐπ. σιγ'. σελ. 580.

(2) Baron. ad an. 835. n. 70.

(3) Πατριάρχ. Δωσιθ. Δωδεκάβ. σελ. 677-678. 698.

(4) Ἡ μνήμη αὐτοῦ τῇ ιη' Δεκεμβρίου.

ται ἀσυγχύτως. Πατὴρ γὰρ αὐθυπόστατος ὁ Πατήρ, ἀεὶ ὢν καὶ μένων ἐν τῇ Πατρότητι, ἀγέννητος, ἄναρχος, ἀρχὴ καὶ αἰτία τῶν πάντων, μόνῃ τῇ ἀγεννησίᾳ διαφέρων τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος καὶ τῷ εἶναι Πατήρ· ἐξ οὗ γεννᾶται μὲν ὁ Υἱὸς πρὸ πάντων τῶν αἰώνων, ἐκπορεύεται δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἀχρόνως καὶ ἀσωμάτως. Ἅμα γὰρ Πατήρ, ἅμα Υἱός, ἅμα Πνεῦμα. Υἱὸς αὐθυπόστατος ὁ Υἱός, ὁμοούσιος καὶ συνάναρχος τῷ Πατρὶ τῷ γεννήτορι, τῇ γεννήσει μόνῃ διαφέρων τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος. Πνεῦμα αὐθυπόστατον τὸ Πνεῦμα τὸ ἅγιον, τῷ Πατρὶ καὶ τῷ Υἱῷ ὁμοούσιον καὶ συναΐδιον, ἔχον μὲν πάντα τὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ παρὲξ τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως, κατ' οὐδὲν διαφέρον, ἢ κατὰ τὴν ἐκπόρευσιν. Κοινὸν μὲν γὰρ τῶν Τριῶν ἡ Θεότης, καὶ τὰ τῆς θείας φύσεως ἰδιώματα. Ἴδιον δὲ ἑκάστου, τοῦ μὲν (Πατρὸς) ἡ Πατρότης, τοῦ δὲ Υἱοῦ ἡ Υἱότης, τοῦ δὲ ἁγίου Πνεύματος ἡ ἐκπόρευσις . . . . . ἁπλῶς δὲ φάναι, Τριάδα προσκυνῶ ἐν μονάδι καὶ μονάδα ἐν Τριάδι, μονάδα τρισυπόστατον, καὶ Τριάδα ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμότιμον, καὶ συνάναρχον. . . . » Κατὰ τῶν Παυλικιανῶν ἐκτίθησι τὴν ὁμολογίαν ὧδε: «Μίαν ὁμολογῶ τῆς Ἁγίας Τριάδος Θεότητα, μίαν φύσιν, μίαν οὐσίαν, μίαν κυριότητα, μίαν βασιλείαν. Ταύτην μόνην γινώσκω ἀΐδιον, ἀγέννητον, ἄναρχον, ἄκτιστον, ἀόρατον, ἀπερίγραπτον, ἀπερινόητον, ἀόριστον, ἀναλλοίωτον, ἄτρεπτον, ἀθάνατον, ἀνώλεθρον, ἀπαθῆ· πάντων ποιητικήν τε καὶ συνεκτικὴν καὶ προνοητικήν, οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης καὶ πάντων τῶν ἐν αὐτοῖς, ὁρατῶν τε καὶ ἀοράτων, ἐξ οὐκ ὄντων αὐτὰ προαγαγοῦσαν. Πιστεύω μὴ οὖσαν εἶναι τοῦ κακοῦ τινα, ἢ βασιλείαν, ἢ ἄναρχον, ἢ παρ' ἑαυτῆς ὑποστᾶσαν, ἢ παρὰ τοῦ Θεοῦ γενομένην· ἀλλ' ἡμέτερον ἔργον τοῦτο καὶ τοῦ πονηροῦ, ἐκ τῆς ἀπροσεξίας ἐπεισελθόν, ἀλλ' οὐχὶ κτίσαντος. . . . » Περαιτέρω ἐκτίθενται αἱ τῆς πίστεως ἔννοιαι περὶ τῆς τάξεως τῆς ἐπανορθώσεως τοῦ ἀνθρώπου, περὶ τοῦ Βαπτίσματος καὶ τῆς Εὐχαριστίας, ἡ πίστις εἰς τὴν Παράδοσιν καὶ τὰς ἁγίας Εἰκόνας. Ἐν τῷ ἐπιλόγῳ λέγει ὁ ὅσιος, ὅτι ἀποδέχεται τὰς μέχρις αὐτοῦ γενομένας ἐξ Οἰκουμενικὰς Συνόδους (¹).

(¹) Ὁ Λίβελλος οὗτος ἐξεδόθη ἑλληνιστὶ καὶ λατινιστὶ in Bibl. Coislin. p. 90-92. Paris. 1715.

Ἄλλα συγγράμματα αὐτοῦ: Ἐγκωμιαστικοὶ Λόγοι ([1]), καί τινες στίχοι, μεταξὺ τῶν ἄλλων εἰς τὴν Ἀναστήλωσιν τῶν Εἰκόνων ([2]).

§. 273. Θεοφάνης ὁ Γραπτός.

Θεοφάνης ὁ Γραπτὸς ἅγιος, νεώτερος ἀδελφὸς Θεοδώρου τοῦ Γραπτοῦ, τὴν πατρίδα Παλαιστινός, υἱὸς πλουσίων καὶ εὐσεβῶν γονέων, διαπρεπῶν γενομένων κατ' ἐξοχὴν ἐπὶ φιλοξενίᾳ. Τὸ μὲν πρῶτον διέτριψε περὶ τὰ γράμματα μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν τῷ οἴκῳ τοῦ πατρός, ἔπειτα δὲ ἐμαθήτευσεν ἐν τῇ Λαύρᾳ τοῦ ἁγίου Σάββα παρὰ πρεσβυτέρῳ τινὶ πάνυ εὐσεβεῖ καὶ πεπαιδευμένῳ. Ὁ μέγας αὐτοῦ ὑπὲρ τῆς Ἐκκλησίας ἀγὼν ἔμελλεν ἄρξασθαι οὐχὶ ἐν τῇ ἐρήμῳ. Ὁ ἀγὼν οὗτος ἦν ἀγὼν ὁμολογητοῦ, διαρκέσας ἀπὸ τοῦ 817-842, εἴκοσι καὶ πέντε ὅλα ἔτη. Ἐπὶ τοῦ Αὐτοκράτορος Λέοντος τοῦ Ἀρμενίου ἀπεστάλη μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Θεοδώρου ὑπὸ Θωμᾶ τοῦ Ἱεροσολύμων Πατριάρχου εἰς Κωνσταντινούπολιν ὑπερμαχήσων

([1]) Τὸ Ἐγκώμιον εἰς τοὺς Ἀρχαγγέλους καὶ τοὺς Ἀγγέλους ἐξεδόθη ἑλλην. καὶ λατιν. ὑπὸ Κομβεφισίου in Auct. Nov. T. I. Paris. 1640. Λατιν. in Bibl. E. Ptar. T. XIV. Lugduni. Τὸ ἐγκώμιον εἰς Διονύσιον τὸν Ἀρεοπαγίτην ἐξεδόθη ἐν τοῖς συγγράμμασιν αὐτοῦ ὑπὸ Κορδερίου Antwerp. 1634. Venet. 1755. Ἐν τῷ Συνοδ. Βιβλ. τῆς Μόσχας ὑπάρχει ἡ ἀνέκδοτος αὐτοῦ Διήγησις περὶ τῶν παθημάτων τῶν ἁγίων μβ' Μαρτύρων τῶν ἐν τῷ Ἀμωρίῳ (Cod. 162). Ἐν τῇ τῶν Παρισίων Βιβλ. τὸ Ἐγκώμιον εἰς Ἰσαάκιον τὸν Δαλμάτην (Cod. 548).

([2]) Οἱ στίχοι οὗτοι ἐξεδόθ. ὑπὸ Ἀλλατίου: De Dominico grae. C. 14 ed una cum libro: Consens. Eccles. Or. et Occid. Coloniæ Agrippinæ, 1648 Πρβλ. Maii Spicil. Romon. IV. p. 31). Ὁ Ἀλλάτιος προὐτίθετο ἐκδοῦναι μετὰ τῶν ὕμνων τοῦ Σωφρονίου, τοῦ Ἰγνατίου καὶ ἄλλων καὶ τοὺς στίχους τοῦ Μιχαήλ, ἀλλὰ δυστυχῶς ἡ πρόθεσις αὐτοῦ οὐκ ἐξεπληρώθη (Eustath. Antiochen. p. 284. Ἐν τῇ Συνοδ. Βιβλ. τῆς Μόσχας μένουσιν ἀνέκδοτοι αἱ εὐσεβεῖς μελέται τοῦ Μιχαὴλ περὶ μουσικῆς καὶ πνευματικῶν ὕμνων (cod. 288. al. 301). Ἡ Γραμματικὴ αὐτοῦ ἐξεδόθη ἑλληνιστί: Γραμματικὴ περὶ Συντάξεως, Ἐνετίῃσι, 1745. Ἐν τῇ Παρισιαν. Βιβλ. ὑπάρχει ἐπιστ. Μιχαὴλ μοναχοῦ καὶ πρεσβυτέρου πρὸς τὸν Ἀρχιεπ. Τύρου.

τῆς ὀρθοδοξίας καὶ τῶν ὀρθοδόξων. Ὁ μὲν Λέων ἐβασάνισεν ὠμότατα τοὺς ἁγίους ἀδελφούς, αὐτοὶ δὲ θαρραλέως ἤλεγξαν τὴν πλάνην ἐκείνου. Ὁ μὲν Θεόδωρος συνέταξεν ὁμιλίας, ὁ δὲ Θεοφάνης κανόνας. Ὁ Λέων ἐξώρισεν καὶ διέταξε λιμοκτονῆσαι αὐτούς. Ὁ δὲ Αὐτοκράτωρ Μιχαὴλ ὁ Τραυλὸς ἐσιδηροδέτησεν καὶ ὑπερώρισεν ἐκ Κωνσταντινουπόλεως· πολλῷ δὲ δεινοτέρας βασάνους ἔμελλον ὑποστῆναι ἐν τῷ μέλλοντι. Ὁ ὠμὸς εἰκονομάχος Θεόφιλος οὐχ ἅπαξ παρέδωκε τοὺς ὁμολογητὰς εἰς βάσανον. Τὸ μὲν πρῶτον μετὰ δεινὴν στρέβλωσιν ὑπερώρισεν αὐτούς, μετὰ δὲ δύο ἔτη μετεπέμψατο εἰς Κωνσταντινούπολιν, ἔνθα καὶ αὖθις κατεβασάνισεν. Περὶ τοῦ τελευταίου τούτου ἀγῶνος ἐκείνων γράφει Λέων ὁ Γραμματικὸς τὰ ἑξῆς: «Μαθὼν δὲ αὐτὸς Θεόφιλος, ὅτι Θεοφάνης ποιητής, καὶ Θεόδωρος ὁ ἀδελφὸς αὐτοῦ, καθ' ἑαυτοὺς ζῶντες τὴν ἀσέβειαν αὐτοῦ κωμῳδοῦσι καὶ διελέγχουσιν, ἀποστείλας μετ' ὀργῆς ἤγαγεν αὐτοὺς πρὸς αὐτόν, εἰπὼν τάδε: «Πόθεν ἐστέ; Οἱ δὲ εἶπον, πόθεν; Ἐκ Παλαιστίνης. Ὁ δ' ἀλιτήριος· καὶ διὰ τί τὴν γῆν ὑμῶν ἀφέντες καὶ εἰς τὴν ἡμετέραν ἐλθόντες οὐ πειθαρχεῖτε τῇ βασιλείᾳ ἡμῶν; Τῶν δὲ μηδὲν ἀποκριθέντων, ἐπέτρεψε παίεσθαι τὰς ὄψεις αὐτῶν σφοδρῶς. Εἶτα μετὰ τοῦτο βουνευρήσας αὐτοὺς μέχρις αὐτοῦ τοῦ θανάτου μετὰ θυμοῦ, μετὰ τραχείας τῆς φωνῆς πρὸς τὸν ὕπαρχον ἔφη: Ἆρον αὐτοὺς εἰς τὸ Πραιτώριον, καὶ γράψον τὰ πρόσωπα αὐτῶν τούσδε τοὺς στίχους, προσθείς, ὅτι κἂν οὐκ εἰσι καλοί, μὴ σοὶ μελέτω. Τοῦτο δὲ εἶπεν, εἰδὼς αὐτοὺς ὡς σοφωτάτους καὶ ἄριστα ἠσκημένους. Οἱ δὲ εἶπον: Γράφε, γράφε, βασιλεῦ, τὸ δοκοῦν σοι, ὡς μέλλων τοῦτο ἀναγνῶναι ἐπὶ τοῦ φοβεροῦ Κριτοῦ. Ὁ δὲ ὕπαρχος τούτους ἀγαγὼν εἰς τὸ Πραιτώριον μετὰ δύο ἡμέρας ἁπλώσας, καὶ δήσας αὐτῶν χεῖρας καὶ πόδας, κατακεντήσας τε καὶ ἐγκολάψας τοὺς στίχους εἰς τὰς ὄψεις αὐτῶν, ἐξώρισε. Καὶ ἐν μὲν τῇ ἐξορίᾳ τελευτᾷ ὁ ἐν ἁγίοις Θεόδωρος· ὁ δὲ ἀοίδιμος Θεοφάνης ὁ ποιητὴς διήρκεσε μέχρι Μιχαὴλ καὶ Θεοδώρας, ἀγωνισάμενος πλεῖστα ἐν τῇ γενομένῃ ὀρθοδοξίᾳ, ὃς καὶ Μητροπολίτης εἰς Νίκαιαν γέγονε, τῶν πραγμάτων ἀποκαταστάντων ἤδη ἐπὶ τὸ εὐσεβέστερον» (1). Συμεὼν ὁ Λογοθέτης λέγει

(1) Χρονογρ. σελ. 455. 456.

περὶ τῆς προχειρίσεως τοῦ Θεοφάνους εἰς Μητροπολίτην τάδε: « Ὁ δὲ ἀοίδιμος Θεοφάνης μέχρι Μιχαὴλ καὶ Θεοδώρας διήρκεσε, καὶ ὑπὸ τοῦ ἐν ἁγίοις Μεθοδίου Πατριάρχου γενομένου χειροτονεῖται Μητροπολίτης Νικαίας· ὥς καί τινας ἀσχάλλοντας ἐπὶ τῇ τούτου χειροτονίᾳ, καὶ λέγοντας, ὅτι Σύρος ἐστί, καὶ τίς οἶδεν, εἰ ὀρθόδοξος ὑπάρχει, μηδενὸς αὐτοῦ μαρτυροῦντος; ἀπεκρίθη ὁ ἅγιος Μεθόδιος, λέγων: ἐγὼ ὑπὲρ ταύτην τὴν μαρτυρίαν, ἣν ἐπιφέρεται (δείξας τὴν ἐν τῷ προσώπῳ γραφὴν) κρείττονα οὐ θέλω » (1). Τοῦτο ἐγένετο, ὅτε (τῷ 842) ἀποκατεστάθη ἡ ὀρθοδοξία. Τότε ἐπ᾽ ἴσης παρεκάλεσε τοὺς Πατέρας ἡ Αὐτοκράτειρα Θεοδώρα δεηθῆναι τοῦ Κυρίου ὑπὲρ ἀφέσεως τοῦ Θεοφίλου· ὁ δὲ Θεοφάνης εἶπεν, ὅτι τοῦτό ἐστιν ἔργον τοῦ Δικαστηρίου τοῦ Θεοῦ.

§. 274. Συγγράμματα αὐτοῦ.

Ὁ ἅγιος Θεοφάνης ἔγραψε τέσσαρα βιβλία κατὰ Ἰουδαίων(2), ἐγκύκλιον ἐπιστολὴν τῶν Ὁμολογητῶν περὶ τῶν ἁγίων Εἰκόνων(3), στίχους περὶ τοῦ κατὰ τῶν ἁγίων Εἰκόνων(4). Κατ᾽ ἐξοχὴν δὲ ἐστὶ γνωστὸς ὁ Θεοφάνης ὡς ἱερὸς

(1) Χρονογρ. σελ. 456. ὁ αὐτὸς γράφει, ὅτι ὅτε ὁ Μεθόδιος ἦν μνήματι ἐγκεκλεισμένος μετὰ δύο λῃστῶν ἐν τῇ τοῦ Ἀντιγόνου νήσῳ, ἔγραψαν πρὸς αὐτὸν ὁ Θεόδωρος καὶ ὁ Θεοφάνης:

» Τῷ ζῶντι νεκρῷ καὶ νεκρῷ ζωηφόρῳ,
» Οἰκοῦντι τὴν γῆν καὶ πολοῦντι τὸν πόλον,
» Γραπτοὶ γράφουσι δέσμιοι τῷ δεσμίῳ.

Ὁ Μεθόδιος ἀπεκρίνατο:

» Τοῖς τοῖς βίβλοισιν οὐρανῶν κλησιγράφοις
» Καὶ πρὸς πρόσωπα σωφρόνως ἐστηγμένους
» Προσεῖπεν ὁ ζώθαπτος ὡς συνδεσμίοις.

Ἡ μνήμη τοῦ ἁγίου Θεοφάνους τῇ ια´ Ὀκτωβρίου, καὶ μετὰ τοῦ ἀδελφοῦ τῇ κζ´ Δεκεμβρίου.

(2) Κατὰ τὸν Νεσσέλιον in Vien. Bibl cod. 224. et in Parisian. cod. 2951.

(3) Ἐξεδόθη ὑπὸ Κομβεφισίου in Orig. Constant. p. 214. Oudini Comm. II. 167.

(4) Οἱ ἰαμβικοὶ αὐτοῦ στίχοι περὶ τῶν διωγμῶν τοῦ εἰκονομάχου Θεοφίλου ἐξεδόθησαν ὑπὸ Βανδίνη gr. et latin. Catal. Bibl. Laurent. T. II. Florent. 1763.

ποιητής, ὡς ἀποκαλεῖ αὐτὸν ὁ Σουΐδας· ὁ θεῖος Πατὴρ ἔγραψε πάνυ πολλοὺς Κανόνας.

Ἐν τῇ ἑλληνικῇ Παρακλητικῇ ἀναγινώσκονται ὀκτὼ κανόνες αὐτοῦ εἰς τοὺς Ἀγγέλους(1), τοσοῦτοι ἐπ᾿ ἴσης εἰς τοὺς κοιμηθέντας(2), ἑπτὰ κανόνες εἰς τοὺς Ἀποστόλους(3), καὶ ὀκτὼ εἰς τὴν Θεοτόκον(4). Ἐν δὲ τῇ σλαβικῇ Ὀκτωήχῳ ἐκ τῶν εἰς τὴν Θεοτόκον κανόνων μόνον ὁ τοῦ πλαγίου δευτέρου ἤχου ἀνήκει εἰς τὸν Θεοφάνη, οἱ δὲ λοιποὶ ἀντικατεστάθησαν δι᾿ ἄλλων κανόνων ἀγνώστου συγγραφέως.

Ὑπὸ τοῦ ἁγίου Πατρὸς ἐποιήθησαν οἱ ἐν τῷ Τριῳδίῳ εἰς τὴν Κυριακὴν τῆς Ὀρθοδοξίας, εἰς τὴν Τετάρτην τῆς Δ´ ἑβδομάδος, καὶ εἰς τὸ Σάββατον τῶν Βαΐων μέχρι τῆς ε´ ᾠδῆς κανόνες· ἐπ᾿ ἴσης οἱ ἐν τῷ Πεντηκοσταρίῳ εἰς τὴν Μεσοπεντηκοστήν, εἰς τὸ ἅγιον Πνεῦμα ἐν τῷ ἀποδείπνῳ τῆς Πεντηκοστῆς, καὶ τὰ ἐν τῷ Πασχαλίῳ Θεοτόκια.

Ἐν τοῖς ἐκδεδομένοις καὶ ἀνεκδότοις ἑλληνικοῖς καὶ σλαβικοῖς Μηναίοις ἀναγινώσκονται κανόνες αὐτοῦ: α´) εἰς Προφήτας ιϐ´ (5),

---

(1) Ἡ ἀκροστιχὶς τοῦ κανόνος τοῦ Α´. ἤχου: Θεοφάνους ὁ πρῶτος Ἀγγέλων ὕμνος. Ἐν ταῖς ἀκροστιχίσι τῶν λοιπῶν κανόνων ὁρίζεται ὁ ἀριθμὸς τῶν ὕμνων π. χ. ἐν τῷ Γ´ ἤχῳ: Ἄγω τρίτον μέλισμα τοῖς ἀσωμάτοις. Ἐν τῷ βαρεῖ Ἀσωμάτοις ἔπαινον ἕϐδομον φέρω.

(2) Ἅπαντες οἱ τῶν Σαββάτων κανόνες εἰς τοὺς κοιμηθέντας συστοιχοῦσι ταῖς ἀκροστιχίσι. Ἡ ἀκροστιχὶς τοῦ καν. τοῦ Γ´ ἤχου: Τοῦτο τρίτον μέλισμα θνήσκουσιν νέμω. Ἡ τοῦ Πλαγίου πρώτου: Θεοφάνους ὁ πέμπτος εἰς νεκροὺς κανών. Ἡ τοῦ Πλαγίου τετάρτου: Θνήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος.

(3) Κατὰ τὰς ἐπιγραφὰς καὶ τὰς ἀκροστιχίδας· ὁ δὲ κανὼν τοῦ Πλαγίου τετάρτου εἰ καὶ ἐν τῇ σλαϐ. Ὀκτωήχῳ καλεῖται τοῦ Θεοφάνους, κατὰ τὴν ἀκροστιχίδα ἀνήκει εἰς Ἰωσὴφ τὸν Ὑμνῳδόν.

(4) Ὁ κανὼν τοῦ Δ´ ἤχου καλεῖται διαρρήδην τοῦ Θεοφάνους. Ἡ ἀκροστιχὶς τοῦ κανόνος τοῦ Πλ. Α´ ἤχου ἔχει ὧδε: Πέμπτη δέησις τῇ Θεοτόκῳ πέλει.

(5) Εἰς τὴν Σύναξιν τοῦ Βαπτιστοῦ, εἰς τὸν Προφ. Μαλαχίαν (Ἰαν. ζ´ γ´.), εἰς τοὺς Προφ. Ἡσαΐαν (Μαΐου θ´.), Ζαχαρίαν (Σεπτεμϐρ. ε´.), Ὠσηέ, Ἰωὴλ (Ὀκτωϐρ. ιζ´ ιθ´·), Ἀϐδιοὺ (Νοεμϐρ. ιθ´), Ἀγγαῖον, Ναούμ, Ἀϐακούμ, Σοφονίαν (Δεκεμϐρ. ις´ α´ ϐ´ γ´ ια´).

β') εἰς Ἀποστόλους ιγ' [1], γ') εἰς ἱεράρχας κα' [2], εἰς ὁσίους ιδ' [3], εἰς Μάρτυρας ιζ' [4].

(1) Εἰς Πέτρον καὶ Τιμόθεον (Ἰανουαρ. ις' κβ'), Ὀνήσιμον (Φεβρ. ιε'), Βαρθολομαῖον καὶ Βαρνάβαν (Ἰουν. ια'), Στέφανον, Ματθίαν, Τίτον (Αὐγ. β' θ' κε'), Θωμᾶν, Ἰάκωβον τὸν Ἀλφαίου, Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου (Ὀκτωβρ. α' θ' κγ'), Ματθαῖον (Νοεμβρ. ις'). Ὁ κανὼν εἰς τὸν Εὐαγγελ. Μάρκον (Ἀπριλ. κε'), ὁ ἐν τῷ σλαβ. Μηναίῳ ἄνευ τοῦ ὀνόματος τοῦ ποιητοῦ, φέρει τὸ ὄνομα τοῦ Θεοφάνους ἐν ἑλλην. χειρ. τοῦ ια' αἰῶνος (Vind. cod. histor. 12).

(2) Εἰς Ἀθαν. τὸν Ἀλεξανδρ., Γρηγόρ. τὸν Θεολ. Ἰγνάτ. τὸν Θεοφ. (Ἰαν. ιη' κε' κθ'), Πολύκαρπον τὸν Σμύρνης, Λέοντα τὸν Π. (Φεβρ. κγ' ιη'), Σωφρ. καὶ Κυριλ. (Μαρτ. ια' ιη'), Κύριλ. τὸν Ἀλεξ. (Ἰουν. θ'), Νικηφόρον (Ἰουν. β'), Διον. τὸν Ἀρεοπ. Ἱερόθεον (Ὀκτωβρ. γ' δ'), Ἰωάν. τὸν Χρυσόστ., Παῦλον τὸν Κωνσταντιν., Γρηγόρ. τὸν Νεοκαισαρ., Πρόκλον, Ἀμφιλόχιον, Πέτρον τὸν Ἀλεξανδρ. (Νοεμβρ. ιγ' ς' ιζ' κ' κγ' κε'), Σπυρίδωνα τὸν Τριμυθ. (Δεκεμβρ. ιβ'), Βαβύλαν (Σεπτέμβρ. δ'), Εὐτύχιον τὸν Κωνσταντιν. (Ἀπριλ. ς'). Ὁ τελευταῖος φέρει ἐν τῷ μνημονευθέντι χειρογρ. τὸ ὄνομα τοῦ Θεοφάνους.

(3) Εἰς Ἀντώνιον τὸν Μ., Μακάριον, Ἐφραίμ, Εὐθύμιον, Θεοδόσιον, (Ἰαν. ιζ' ιθ' κ' κη' ια')· ὁ κανὼν εἰς τὸν τελευταῖον ἐν τῷ ἑλλην. ἄνευ τοῦ ὀνόμ. τοῦ ποιητοῦ, ἀλλὰ τὰ στιχηρά: Θεοφάνους Ὁμολογ. εἰς Μαρτινιανὸν (Φεβρ. ιγ'), Θεόκτιστον καὶ Χαρίτωνα (Σεπτεμβρ. γ' κη'), Ἱλαρίωνα τὸν Μ. (Ὀκτωβρ. κα'), Νεῖλον (Νοεμβρ. ιβ'). Οἱ κανόνες εἰς Νικήταν καὶ Γρηγόρ. τὸν Δεκαπολίτην (Ἀπριλ. γ' ιη') ἐτάχθησαν ἐν τῷ σλαβ. Μην. ἄνευ τοῦ ὀνόματος τοῦ ποιητοῦ, φέρουσι δὲ αὐτὸ ἐν τῷ Μην. τοῦ Θεοκτίστου· Οἱ κανόνες εἰς Θεόδωρον τὸν Γραπτόν, αὐτάδελφον τοῦ Θεοκτίστου· Οἱ κανόνες εἰς Θεόδωρον τὸν Γραπτόν, αὐτάδελφον τοῦ ποιητοῦ (Δεκεμβ. κζ') καὶ Θεοφάνην τῆς Σιγριανῆς (Μαρτ. ιβ') ἐποιήθησαν, καὶ κατὰ τὴν βιογραφίαν ὑπ' αὐτοῦ.

(4) Εἰς Αἰκατερ. τὴν Μεγαλομ. Νοεμβρ. κε'), Παρασκευὴν (Ἰουλ. κς'), Ἀγάθην καὶ Νικηφόρον (Φεβρουαρ. ε' θ'), Ἀκάκιον (Μαΐου ζ'), Παντελεήμονα (Ἰουλ. κζ'), Μάμαντα, Σώζοντα, Νικήταν, Πίστιν καὶ Ἀγάπην, Εὐστάθιον (Σεπτεμβρ. β' ζ' ιε' ιζ' κ'), Σέργιον καὶ Βάκχον, Ἀρέθαν (Ὀκτωβρ. ζ' κδ'), Γουρίαν (Νοεμ. ιε'), Θύρσον (Δεκ. ιδ'). Ὁ κανὼν εἰς τὸν Ὁμολογ. Λουκιανὸν (Ὀκτ. ιε') λέγεται ἐν τῷ σλαβ. Μην. τοῦ Ἰωσήφ, κατὰ δὲ τὸ ἑλλην. ἐστι ποίημα τοῦ Θεοφάνους. Ὁ κανὼν εἰς τὸν Εἰρήναρχον ἐν μὲν τῷ σλαβ. ἀναγινώσκεται ἄνευ τοῦ ὀνόμ. τοῦ ποιη-

Ἐν τοῖς σλαβικοῖς Μηναίοις κατεχωρίσθησαν ἓξ κανόνες τοῦ Θεοφάνους, οἵτινες οὐχ ὑπάρχουσιν ἐν τοῖς ἑλληνικοῖς [1], καὶ τἀνάπαλιν ἐν τούτοις εὑρίσκονται τέσσαρες αὐτοῦ κανόνες [2], οἵτινες ἐν ἐκείνοις ἀντικατεστάθησαν ὑπ᾽ ἄλλων κανόνων.

Τέλος ἐν μὲν τοῖς σλαβικοῖς Μηναίοις ἀναγινώσκονται κε´ κανόνες μετὰ τοῦ ὀνόματος τοῦ Θεοφάνους [3], ἐν δὲ τοῖς ἑλληνικοῖς οὐχ ὑπάρχει τὸ ὄνομα τοῦ ποιητοῦ αὐτῶν.

Οἱ εἰς τοὺς κοιμηθέντας καὶ τοὺς Ἀποστόλους κανόνες τοῦ ὁμολογητοῦ Θεοφάνους εἰσὶ πολλοῦ ἄξιοι. Ἅπαντες δ᾽ ἐγράφησαν ἀπερίττῳ καὶ σαφεῖ φράσει, διό εἰσιν ἅπασι τοῖς ἀναγινώσκουσιν αὐτοὺς πάνυ καταληπτοί.

§. 275. Μεθόδιος ὁ Πατριάρχης καὶ Ὁμολογητής.

Ὁ ἅγιος Μεθόδιος, ὁ Πατριάρχης Κωνσταντινουπόλεως, πᾶσαν γραμματικῆς τέχνην καὶ ἱστορίας κατορθωκὼς ἐν τῷ οἴκῳ τῶν ἐκ Συρακουσῶν εὐκλεῶν καὶ πλουσίων αὐτοῦ γονέων, ἐφίετο τυχεῖν βασιλικῶν ἀξιωμάτων καὶ ἐν τῷ βίῳ περιφανὴς καταστῆναι· ἀλλὰ συντυχὼν ἀσκητῇ τινι ἐκ προνοίας Θεοῦ ἐν Κωνσταντινουπόλει, ἐπείσθη ὑπ᾽ αὐτοῦ μεταβουλεύσασθαι, καὶ δειμάμενος ἰδίᾳ δαπάνῃ

τοῦ, ἐν δὲ τῷ ἑλληνικῷ λέγεται ποίημα τοῦ Θεοφάνους.

(1) Εἰς τὸν Π. Γερμανὸν (Μαΐου ιβ´), εἰς τοὺς ἁγ. μ´. Μάρτυρας, τοὺς ἐν Σεβαστείᾳ τῇ πόλει μαρτυρήσαντας (Μαρτ. θ´), εἰς τὸν Τύχωνα (Ἰουν. ις´), εἰς τοὺς Ἀπ. Φίλιππον καὶ Κλήμεντα (Νοεμβρ. ιδ´ κε´), εἰς τὸν Μ. Εὐγένιον (Δεκ. κδ´).

(2) Εἰς τὸν Μεγαλομ. Γεώργιον (Ἀπριλ. κγ´), εἰς τὸν Εὐαγγελ. Λουκᾶν (Ὀκτωβρ. ιη´), εἰς τὸν Μ. Κάρπον (Ὀκτωβρ. ιγ´), καὶ εἰς τὸν Μ. Μηνᾶν (Νοεμβρ. ια´).

(3) Εἰς τὸν Εὐαγγελισμόν, Θεοφύλακτον, Σαβῖνον, Ματρῶναν (Μρτ. κε´ η´ ις´ κζ´), Χριστοφόρον, Πατρίκιον (Μαΐου γ´ θ´), Μεθόδιον τὸν Πατ., Φεβρωνίαν, εἰς τοὺς ιβ´ Ἀποστόλους (Ἰουν. κ´ κε´ λ´), Συμ. τὸν Σαλόν, Μαρίαν τὴν Μαγδαληνήν, (Ἰουλ. κα´ κβ´) Δομέτιον, Ποιμένα (Αὐγ. ζ´ κζ´), Εὐλάμπιον καὶ Εὐλαμπίαν (Ὀκτωβρ. ι´), Ἀκίνδυνον καὶ Ἀνεμπόδιστον (Νοεμβρ. β´), Εὐθυμίαν, Ἀνανίαν καὶ Μελάνην (Δεκεμβ. κς´ λ´ λα´),

Μονὴν ἐν Χίῳ, ἤρξατο ἐξανύειν ἐν αὐτῇ τὴν ἀσκητικὴν παλαίστραν(*). Τῷ 812 ἀπέστειλεν αὐτὸν ὁ Πατριάρχης Νικηφόρος πρὸς τὸν Πάπαν Λέοντα τὸν Γ΄ ὡς ἀποκρισιάριον. Ὁ τὸν Λέοντα διαδεξάμενος Μιχαὴλ κατέκλεισεν αὐτὸν ἐν δεσμωτηρίῳ. Ἀκούσας ὁ Θεόφιλος τὰς ἰσχυρὰς καὶ ἐντόνους αὐτοῦ ἀποδείξεις ὑπὲρ τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, ἐκέλευσε τύψαι αὐτὸν κατὰ τὰς παρειάς· ὁ γνάθος αὐτοῦ τοσοῦτον συνετρίβη, ὥστε δυσειδὴς οὐλή, ὡς σφραγὶς τοῦ μαρτυρίου ἔμεινεν ἐπὶ τοῦ προσώπου καθ᾽ ἅπαντα αὐτοῦ τὸν βίον (¹). Οὐκ ἀρκεσθεὶς τούτοις ὁ Θεόφιλος ὑπερώρισεν αὐτὸν εἰς τὴν τοῦ Ἀντιγόνου νῆσον καὶ καθεῖρξεν ἐν σκοτεινῷ καὶ καθύγρῳ τάφῳ μετὰ δύο λῃστῶν. Εἷς τῶν κακούργων ἐτελεύτησεν, οὗ τὸ σῶμα οὐκ ἐξήγαγον, ὅπως ἥ τε δυσωδία καὶ ὁ λιμὸς καταδαμάσωσι τὸν μάρτυρα. Ἑπτὰ ἔτη διέτριψεν ἐν ταύτῃ τῇ φοβερᾷ εἱρκτῇ, ἧς ἔπειτα ἐκβληθείς, ἀφίκετο εἰς Κωνσταντινούπολιν. Κατὰ τὴν μαρτυρίαν τοῦ Ζωναρᾶ, τοῦ Κεδρηνοῦ, καὶ τοῦ Γλυκᾶ, ἀπηλλάγη τῆς εἱρκτῆς θαυμαστῷ τῷ τρόπῳ. Ὁ Θεόφιλος, ἐραστὴς ὢν τῆς ἀναγνώσεως βιβλίων, εὗρεν ἐν τῇ βιβλιοθήκῃ τῶν ἀνακτόρων γραφήν, ἣν οὐκ ἠδύνατο ἐννοῆσαι. Ἡμέρας τινὰς διῆλθεν ἀγανακτῶν καὶ ἄσιτος διάγων. Τῶν κουβικουλαρίων τις εἶπεν αὐτῷ, ὅτι οὐδεὶς ἄλλος δύναται διασαφῆσαι τὴν γραφήν, εἰμὴ ὁ ἐν τῷ τάφῳ ἀποκεκλεισμένος Μεθόδιος. Μόλις ἐμφανισθέντι τῷ ἀπεσταλμένῳ εἶπεν ὁ ἱερὸς ἀνήρ : «Οἶδα δι᾽ ὃ ἦλθες ἀποσταλεὶς παρὰ τοῦ Θεοφίλου. Ἀλλ᾽ ἐπίδος μοι χάρτην καὶ μέλαν». Ὁ Θεόφιλος ἀναγνοὺς τὸ γραφέν, ἀπέδωκεν αὐτῷ μετὰ τῆς ἐλευθερίας τὸν ὀφειλόμενον σεβασμόν. Μετὰ τοῦτο ἑώρα πολλάκις ὁ Αὐτοκράτωρ ἔργῳ τὸν νοῦν τοῦ θείου ἀνδρός, καὶ ἐντεῦθεν εἴα αὐτὸν ἀνενόχλητον. Ἀπερχόμενος εἰς πόλεμον, ἐλάμβανεν αὐτὸν μεθ᾽ ἑαυτοῦ συμβουλῶν δῆθεν ἕνεκεν, ἀλλὰ κυρίως ἐκ φόβου μὴ διεγείρῃ ἄλλους ὑπὲρ τῆς ὀρθοδοξίας. Τῷ 842 ἀναβιβασθεὶς ὁ ἱερὸς

(*) Ὁ βιογράφος τοῦ στεφανίτου ὑπὲρ τῶν ἁγίων Εἰκόνων Ὁμολογητοῦ Μεθοδίου λέγει, ὅτι ἀπεκάρη ἐν τῇ χηνολάκκου Μονῇ. Σ. Μ.

(¹) Γενόμενος μετὰ ταῦτα Πατριάρχης ὁ Μεθόδιος, ἵνα μὴ φαίνηται ἡ οὐλή, διακόψας τὰς ἄκρας τῆς κουκούλας, ἐπέδεε τὸν γνάθον. Ἐκ σεβασμοῦ πρὸς τὸν Ὁμολογητὴν ἤρξαντο ἔκτοτε ἅπαντες οἱ μοναχοὶ φέρειν τὴν κουκούλαν μετὰ ῥηγῶν.